Μῆδος, τοῦ μήδου, ὁ, medus, penult. circumflectitur.

Μῆδος, τοῦ μήδεος, τὸ, cura, consilium, penult. circumflectitur.

Μισήτη, ἡ, libidinosa, penacuitur.

Μισητή, ἡ, odibilis, acuitur.

Μόνη, μόνης, ἡ, sola, penacuitur.

Μονή, μονῆς, ἡ, mansio, acuitur.

Μοχϑηρός, οῦ, ὁ, laboriosus, acuitur.

Μοχϑῆρος, ου, ὁ, difficilis, penultima circumflexa.

Μύλλος, μύλλου, ὁ, Myllus vir, penacuitur.

Μυλλός, μυλλοῦ, ὁ, strabo, acuitur.

Μυρία, τῶν μυρίων, τὰ, infinita, penacuitur.

Μύϱια, τῶν μυϱίων, τὰ, decem millia, antepenacuitur.

Μύϱιοι, decies mille, antepenacuitur.

Μυϱίοι, innumeri, penacuitur.

Μύϱων, τοῦ μύρονος, ὁ, Myron vir, penacuitur.

Μυϱῶν, τοῦ μυϱῶντος, ὁ, redolens, circumflectitur.

Μύω, τὸ καταμύω, claudo oculos, penacuitur.

Μυῶ, τὸ διδάσκω, doceo, propriè sacra, circumflectitur.

N.

Νάρκισσος, τοῦ ίσσου, ὁ, Narcissus puer, antepenacuitur.

Ναϱκίσσος, τῆς ίσσου, ἡ, Narcissus herba, penacuitur.

Νεός, νεοῦ, ἡ, novale, campus, acuitur.

Νέος, τοῦ νέου, ὁ, novus, juvenis, penacuitur.

Νίκων, τοῦ νίκωνος, ὁ, Nicon, penacuitur.

Νικών, τοῦ νικῶντος, ὁ, vincens, circumflectitur.

Νόμαιον, τοῦ νομαίου, τὸ, legitimum, antepenacuitur.

Νομαῖον, τοῦ νομαίου, τὸ, pascuale, penult. circumflectitur.

Νόμος, τοῦ νόμου, ὁ, lex, penacuitur.

Νομός, οῦ, ὁ, pascuum, regio, plaga, acuitur.

Νύμφιος, τοῦ νυμφίου, ὁ, sponsalis, antepenacuitur.

Νυμφίος, τοῦ νυμφίου, ὁ, sponsus, penacuitur.

Νῦν, de præsenti, præterito et futuro.

Νυνὶ, de præsenti tantùm.

Ξ.

Ξάνθος, τοῦ ξάνθου, ὁ, Xanthus fluvius, et viri nomen, penacuitur.

Ξανθὸς, τοῦ ξανθοῦ, ὁ, flavus, acuitur.

Ξάνϑη, τῆς ξάνϑης, ἡ, Xanthe mulier, penacuitur.

Ξανϑή, τῆς ξανθῆς, ἡ, flava, acuitur.

Ξένων, ξένωνος, ὁ, Xenon vir, penacuitur.

Ξενών, τοῦ ξενῶνος, ὁ, hospitium, acuitur.

O.

Οἰκεῖοι, οἱ, per affinitatem domestici.

Οἰκῆες, οἱ, domestici quivis.

Οἶμος, ὁ, via, masculinum.

Οἴμη, ἡ, cantilena, fœmininum.

Ὄκνος, ὄκνου, ὁ, pigritia, penacuitur.

Ὀκνός, ὀκνοῦ, ὁ, piger, acuitur.

Ὅλος, τοῦ ὅλου, totus, penacuitur.

Ὀλός, τοῦ ὀλοῦ, atramentum sepiæ, acuitur.

Ὅμως, tamen, penacuitur.

Ὁμῶς, simul, similiter, circumflectitur.

Ὄν, ens, acuitur, et tenuatur.

Ὅν, quem, aspiratur.

Ὄναρ, adverbialiter, insomnis, penacuitur.

Ὄναρ, ὄναρος, τὸ, somnium, penacuitur.

Ὀξὺς, per υ, acutus, velox, acuitur.

Ὀξίς, per ι, vas acetarium, acuitur.

Ὅπη, adverbium, ubi, quo, aspiratur, et penacuitur.

Ὀπή, ῆς, ἡ, foramen, sine aspiratione, acuitur.

Ὅϖως, per ω, quomodo, ut, penacuitur.

Ὀπός, ὀποῦ, ὁ, succus, acuitur.

Ὄρθος, τοῦ ὄρθου, ὁ, Orthus, vir, penacuitur.

Ὀϱθός. τοῦ ὀϱθοῦ, ὁ, rectus, acuitur.

Ὅϱμος, ὅϱμου, ὁ, portus artificialis, penacuitur.

Ὁϱμός, ὁϱμοῦ, ὁ, monile, acuitur.

Ὄϱος, ὄρεος, τὸ, mons, tenuatur et penacuitur.

Ὅϱος, ὅρου, ὁ, terminus, aspiratur et penacuitur.

Ὀρός, τοῦ ὀροῦ, ὁ, sedum, tenuatur et acuitur.

Ὄσσα, Ossa, mons Thessaliæ.

Ὄσσα, vox, fama.

Οὗ, aspiratum, cujus et ubi, circumflectitur.

Οὔ, tenuatum, non, acuitur.

Οὐϑέν, ne unum quidem, imperfectum.

Οὐδὲν, nihil, perfectum est.

Οὐκοῦν, igitur, circumflectitur.

Οὔκουν, non, nequaquam, penacuitur.

Οὐϱὰ, οὐϱᾶς, ἡ, cauda, acuitur.

Οὖρα, οὖϱας, ἡ, impetus, penult. circumflectitur.

Οὐϱὸς, οὐϱοῦ, ὁ, navale, acuitur.

Οὖϱος, εος, τὸ, mons, penult. circumflectitur.

Οὖϱος, εος, τὸ, terminus, penult. circumflectitur.

Οὖρος, οὔϱου, ὁ, ventus secundus, penult. circumflectitur.

Οὖρος, τὸ, urina, penult. circumflectitur.

Οὗτος, demonstrativum et relativum.

Οὑτοσὶ, demonstrativum solùm.

Οὗτος, per ο, hic, penult. circumflectitur.

Οὕτως, per ω, sic, penacuitur.

Π.

Παίδευσις, disciplina.

Παιδεία, eruditio.

Παιδιὰ, τῆς ϖαιδιᾶς, ἡ, ludus, acuitur.

Παιδία, τῶν παιδίων, τὰ, pueri, per αι.

Πεδία, τῶν πεδίων, τὰ, campi, per ε.

Παιὼν, τοῦ ϖαιῶνος, ὁ, Apollo, acuitur.

Παίων, τοῦ παίωνος, ὁ, Pæon, metri genus, penult. acuta.

Παλλάς, τῆς ϖαλλάδος, ἡ, Minerva, acuitur.

Πάλλας, τοῦ πάλλαντος, ὁ, Pallas, gigas, penult. acuta.

Πᾶν, τοῦ ϖαντὸς, τὸ, omne, circumflectitur.

Πὰν, τοῦ ϖᾶνος, ὁ, Pan, deus pastorum, acuitur.

Πανταχῆ, per ῆ, ubique.

Πανταχοῖ, per οῖ, quocunque.

Πάϱα, pro ϖάϱεστι, adest, et adsunt, penult. acuta.

Παϱὰ, apud, ab, præter, acuitur.

Παϱακοίτης, παρακοίτου, ὁ, maritus, penacuitur.

Παϱάκοιτις, κοίτιος, ἡ, uxor, antepenacuitur.

Παϱάῤῥητος, duplici ρ, dictus, antepenacuitur.

Παϱαϱητός, unico ρ, supplicabilis, acuitur.

Παϱειάς, τῆς άδος, ἡ, maxilla, acuitur.

Παϱείας, τοῦ ϖαρείου, ὁ, pareas, serpens, acuitur.

Πάϱειμι, adsum, antepenacuitur.

Παϱεῖμι, accedo, penult. circumflectitur.

Παϱϑενίκη, τῆς ϖαϱϑενίκης, ἡ, Parthenice, mulier, penult. acuta.

Παϱϑενική, κῆς, ἡ, virgo, acuitur.

Πάσασϑαι, α producto, possidere.

Πάσασϑαι, α correpto, gustare.

Πατρόκτονος, τόνου, ὁ, occisus à patre, antepenacuitur.

Πατροκτόνος, τόνου, ὁ, parricida, penacuitur.

Πατϱῷος, τοῦ πατϱῴου, ὁ, paternus, penult. circumflectitur.

Πατϱωός, τοῦ ωοῦ, vitricus, acuitur.

Πειθώ, τῆς πειθόος, ἡ, persuasio, acuitur.

Πείθω, Fut. πείσω, Præt. εικα, suadeo, penacuitur.

Πελίας, τοῦ πελίου, ὁ, Pelias vir, penacuitur.

Πελειάς, άδος, ἡ, columbæ genus, acuitur.

Πέρι, ultra, penacuitur.

Περὶ, de et circum, acuitur.

Πείρων, τοῦ πείροντος, ὁ, tranans, penacuitur.

Πειρῶν, πειρῶντος, ὁ, experiens, circumflectitur.

Πευκίος, ου, ὁ, qui ex picea arbore fit, penult. acuta.

Πευκεῖος, τοῦ πευκείου, ὁ, Peuceus, gentile, penult. circumflectitur.

Πίνων, τοῦ πίνοντος, ὁ, bibens, penacuitur.

Πεινῶν, τοῦ πεινῶντος, ὁ, esuriens, circumflectitur.

Πλείων, τοῦ πλείονος, ὁ, comparativum, penacuitur.

Πλειών, τοῦ πλειῶνος, ὁ, annus, acuitur.

Πλούτων, πλούτωνος, ὁ, Pluton, deus, penacuitur.

Πλουτῶν, πλουτοῦντος, ὁ, ditescens, ult. circumflectitur.

Ποία, τῆς ποίας, ἡ, qualis, interrogativè, penacuitur.

Ποιά, τῆς ποιᾶς, ἡ, quædam, indefinitè, acuitur.

Ποῖος, τοῦ ποίου, ὁ, qualis, interrogativè, penult. circumflectitur.

Ποιός, τοῦ ποιοῦ, ὁ, quidam, indefinitè, acuitur.

Πολέμων, τοῦ πολέμωνος, ὁ, Polemon vir, penacuitur.

Πολεμῶν, τοῦ πολεμοῦντος, ὁ, bellans, circumflectitur.

Πόνηρος, τοῦ πονήρου, agricola, antepenacuitur.

Πονηρός, τοῦ πονηροῦ, ὁ, pravus, acuitur.

Πότε, quando, penacuitur.

Ποτὲ, aliquando, acuitur.

Πότος, πότου, ὁ, potus, convivium, penacuitur.

Ποτός, οῦ, ὁ, potulentus, potabilis, acuitur.

Πρασία, σίας, ἡ, urbs Peloponnesi, penacuitur.

Πρασιά, τῆς πρασιᾶς, ἡ, areola, sulcus, acuitur.

Πρίν, adverbium, prius, antea, acuitur.

Πρίν, πρινός, ἡ, arbustum, acuitur.

Πρυτάνεια, τὰ, pretium statutum magistratus Atheniensium.

Πρυτανεία, ἡ, tempus magistratus Atheniensium.

Πρυτάνης, per η, præfectus, administrator, penultima acuta.

Πρύτανις, πρυτάνιος, ἡ, providentia, penacuitur.

Πρωτόγονος, τοῦ πρωτογόνου, primogenitus, antepenacuitur.

Πρωτογόνος, τοῦ πρωτογόνου, ὁ, primò enixa, penultima acuta.

Πρῶτος, πρώτου, ὁ, primus, penult. circumflectitur.

Πρωτός, πρωτοῦ, fatalis, acuitur.

Πρωΐα, manè, penacuitur.

Πρωΐα, ας, ἡ, matutina hora, itidem penacuitur.

Πρωτότοκος, πρωτοτόκου, ὁ, ἡ, primogenitus, antepenultima acuitur.

Πρωτοτόκος, πρωτοτόκου, ἡ, primò enixa, penultima acuitur.

Πτύχη, πτύχης, ἡ, plicatio, penacuitur.

Πτυχὴ, πτυχῆς, ἡ, concavitas vallis, acuitur.

Πυγμὴ, πυγμῆς, ἡ, cestus, acuitur.

Πυγμῆ, crebrò, ultima circumflectitur.

Πυθών, ἡ, loci nomen, acuitur.

Πύθων, ὁ, Python serpens, penacuitur.

Πύλαιος, ου, ἡ, Pylæus, antepenacuitur.

Πυλαῖος, ου, ὁ, Mercurii epitheton, penult. circumflectitur.

Πύλη, πύλης, ἡ, porta, penacuitur.

Πυλίς, πυλίδος, ἡ, portula, acuitur.

Πυῤῥός, πυῤῥοῦ, ὁ, fulvus, acuitur.

Πύῤῥος, πύῤῥου, ὁ, Pyrrhus, penacuitur.

Ρ.

Ῥάκκος, duplici κ, naris cadi.

Ῥάκος, unico κ, vestis attrita.

Ῥίπη, τῆς ῥίπης, ἡ, Rhipe urbs, penacuitur.

Ῥιπή, τῆς ῥιπῆς, ἡ, flatus venti, acuitur.

Ῥινή, ῥινῆς, ἡ, lima, acuitur.

Ῥίνη, ῥίνης, ἡ, Rhina piscis, penacuitur.

Ῥίγιον, ῥιγίου, τὸ, onerosum, antepenacuitur.

Ῥιγεῖον, ῥιγείου, τὸ, pannus ad cooperiendum, penult. circumflectitur.

Ῥεία, ῥείας, ἡ, Rhea, pro ῥέα.

Ῥεῖα, facilè, adverbium.

Ῥοία, cum ι, malus punica.

Ῥοά, τῆς ῥοᾶς, malum punicum.

Ῥόδιος, τοῦ ῥοδίου, ὁ, Rhodiensis, antepenacuitur.

Ῥοδιός, τοῦ ῥοδιοῦ, ὁ, Rhodius fluvius, acuitur.

Ῥοδών, ῥοδῶνος, ὁ, rosetum, acuitur.

Ῥόδων, ῥόδωνος, ὁ, proprium viri, penacuitur.

Ῥύμβος, ου, ὁ, Rhymbus fluvius, penacuitur.

Ῥυμβός, ῥυμβοῦ, ὁ, impetus, turbo, acuitur.

Σ.

Σάκκος, duplici κ, saccus, cilicium, penacuitur.

Σάκος, unico κ, scutum, penacuitur.

Σάρων, σάρωνος, ὁ, Deus marinus, penacuitur.

Σαρῶν, σαροῦντος, ὁ, verrens, circumflectitur.

Σειρική, σειρικῆς, ἡ, gentile nomen, acuitur.

Σειρίκη, ης, ἡ, proprium mulieris, penacuitur.

Σείνων, σείνωνος, ὁ, proprium viri, penacuitur.

Σεινῶν, σεινῶντος, ὁ, lædens, circumflectitur.

Σίμων, σίμωνος, ὁ, Simo, penacuitur.

Σιμῶν, σιμῶντος, ὁ, impendens, circumflectitur.

Σίγηλος, σιγήλου, ὁ, Sigelus, Narcissus, antepenult. acuitur.

Σιγηλός, σιγηλοῦ, ὁ, taciturnus, acuitur.

Σίμος, σίμου, ὁ, simus piscis, penacuitur.

Σιμός, σιμοῦ, ὁ, simus, acuitur.

Σιγή, σιγῆς, ἡ, silentium, acuitur.

Σιγῇ, adverbium, tacite, circumflectitur.

Σίδηρος, σιδήρου, ὁ, ferrum, antepenacuitur.

Σιδηρός, σιδηροῦ, ὁ, ferreus, acuitur.

Σίτος, σίτου, ὁ, frumentum, circumflectitur.

Σιτός, σιτοῦ, ὁ, esculentus, acuitur.

Σκαφή, σκαφῆς, ἡ, effossio, acuitur.

Σκάφη, σκάφης, ἡ, pelvis, scapha, penacuitur.

Σκότιος, σκοτίου, ὁ, natus ex rapta, antepenult. acuitur.

Σκοτίος, Σκοτίου, ὁ, Scotius, viri nomen, penult. acuitur.

Σπάρτη, σπάρτης, ἡ, filum, rubrica carpentarii, penacuitur.

Σπαρτή, σπαρτῆς, ἡ, seminata, acuitur.

Σπάρτος, σπάρτου, ὁ, Spartus, penacuitur.

Σπαρτός, σπαρτοῦ, ὁ, seminatus, acuitur.

Σπουδή, σπουδῆς, ἡ, studium, acuitur.

Σπουδῇ, adverbium, cum studio, cum labore, circumflectitur.

Στάχυς, correptè, spica, singulariter.

Στάχυς, productè, spicæ, pluraliter.

Σταφυλή, uva, acuitur.

Σταφύλη, perpendiculum, penacuitur.

Στύραξ, ὁ, lignum jaculi, penacuitur.

Στύραξ, ἡ, odoris genus, penacuitur.

Στένων, pro στενάζων, suspirans, penacuitur.

Στενῶν, pro στενοχωρέων, coarctans, circumflectitur.

Στίλβον, στίλβοντος, τὸ, splendidum, penacuitur.

Στιλβόν, στιλβοῦ, τὸ, lascivè nutritum, acuitur.

Στρατιά, στρατιᾶς, exercitus, acuitur.

Στρατεία, στρατείας, ἡ, expeditio, penacuitur.

Σύνεργος, συνέργου, ὁ, in re quapiam cooperans, antepenacuitur.

Συνεργός, συνεργοῦ, ὁ, adjutor, acuitur.

Σὺν, præpositio, cum, acuitur.

Σῦν, accusativus, suem, circumflectitur.

Σφόδρα, adverbium, valdè, penacuitur.

Σφοδρὰ, σφοδρᾶς, ἡ, vehemens, penacuitur.

Σχέδιος, σχεδίου, ὁ, extemporalis, antepenacuitur.

Σχεδιὸς, σχεδιοῦ, ὁ, proprium nomen, acuitur.

Σχιστὸς, σχιστοῦ, ὁ, vestis muliebris, acuitur.

Σχισταί, αἱ, calceamenta, acuitur.

Σχολή, σχολῆς, ἡ, otium, aut schola, acuitur.

Σχολῇ, adverbium, circumflectitur.

Τ.

Τάρσος, τάρσου, ὁ, Tarsus in Cilicia urbs, penult. acuta.

Ταρσός, ταρσοῦ, ὁ, ordo remigantium, acuitur.

Ταυρόκτονος, ὁ, à tauro cæsus, antepenacuitur.

Ταυροκτόνος, qui taurum occidit, penacuitur.

Τεός, τεοῦ, ὁ, tuus, acuitur.

Τέος, τέου, ὁ, aliquis, penacuitur.

Τεῦκρος, τεύκρου, ὁ, Teucer, proprium, penult. circumflectitur.

Τευκρός, τευκροῦ, ὁ, Trojanus, acuitur.

Τηλεσκόπος, όπου, ὁ, longè aspiciens, penacuitur.

Τηλέσκοπος, όπου, longè visus, antepenacuitur.

Τίμων, τίμωνος, ὁ, Timon, viri nomen, penacuitur.

Τιμῶν, τιμῶντος, honorans, circumflectitur.

Τίνες, qui, interrogativè, penacuitur.

Τινές, aliqui, quidam, infinitè, acuitur.

Τόμος, τόμου, ὁ, charta, penacuitur.

Τομός, τομοῦ, ὁ, incisus, acuitur.

Τρίετες, triennio, antepenacuitur.

Τριετές, triennale, acuitur.

Τριτῶν, τριτοῦντος, tertiò faciens, circumflectitur.

Τρίτων, τῶν, tertiorum, penacuitur.

Τρυφῶν, τρυφῶντος, ὁ, delicatè vivens, circumflectitur.

Τρύφων, τρύφωνος, ὁ, Tryphon, viri nomen, penacuitur.

Τρεῖς, οἱ καὶ αἱ, hi et hæ tres, circumflectitur.

Τρίς, ter, acuitur.

Τροχός, τροχοῦ, ὁ, revolutio, rota, acuitur.

Τρόχος, τρόχου, ὁ, cursus, penult. acuta.

Τρυγητός, οῦ, ὁ, vindemiæ tempus, acuitur.

Τρύγητος, τρυγήτου, ὁ, vindemia, antepenult. acuta.

Τῦρος, τύρου, ὁ, urbs Phœnissa, penult. circumflectitur.

Τυρός, τυροῦ, ὁ, caseus, acuitur.

Τύχων, ωνος, ὁ περὶ τὴν ἀφροδίτην θεὸς, Deus qui est circa Venerem, penacuitur.

Τυχών, τυχόντος, ὁ, qui contigit, acuitur.

Φ.

Φανός, φανοῦ, ὁ, clarus, laterna, acuitur.

Φάνος, φάνου, ὁ, viri nomen, penacuitur.

Φάρος, φάρου, ἡ, insulæ nomen, penacuitur.

Φᾶρος, φάρεος, τὸ, vestis, penult. circumflectitur.

Φαῖδρος, φαίδρου, ὁ, Phædrus Platonis, penult. circumflectitur.

Φαιδρός, φαιδροῦ, ὁ, clarus, alacer, acuitur.

Φαιά, φαιᾶς, ἡ, fusca, acuitur.

Φαῖα, φαῖας, ἡ, urbis nomen, penult. circumflectitur.

Φάσις, φάσιος, ἡ, fama, dictio, penacuitur.

Φᾶσις, φάσιδος, ὁ, Phasis fluvius, penult. circumflectitur.

Φιλητής, φιλητοῦ, ὁ, amator, acuitur.

Φιλήτης, φιλήτου, ὁ, fur, deceptor, penacuitur.

Φίλων, φίλωνος, ὁ, Philo, penacuitur.

Φιλῶν, φιλοῦντος, ὁ, amans, circumflectitur.

Φόρος, φόρου, ὁ, tributum, penacuitur.

Φορός, φοροῦ, ὁ, ventus prosper, acuitur.

Φυλακή, φυλακῆς, ἡ, custodia, acuitur.

Φυλάκη, άκης, ἡ, urbs Thessaliæ, penacuitur.

Φύλον, per unum λ, gens, penult. circumflectitur.

Φύλλον, per duo λ, folium, penacuitur.

Φῶς, φωτὸς, τὸ, lux, circumflectitur.

Φώς, φῶτος, ὁ, vir, acuitur.

Χ.

Χάραξ, ακος, ἡ, vallus in vineis, penacuitur.

Χάραξ, ακος, ὁ, vallum in bello, penacuitur.

Χαρίτων, χαρίτωνος, ὁ, nomen proprium, et genitivus pluralis, penacuitur.

Χαριτῶν, χαριτοῦντος, ὁ, gratificans, circumflectitur.

Χάριεν, pro χαριέντως, gratiosè, antepenacuitur.

Χαρίεν, χαρίεντος, τὸ, gratiosum, penacuitur.

Χάλκη, χάλκης, ἡ, nomen insulæ, penacuitur.

Χαλκῆ, χαλκῆς, ἡ, ærea, circumflectitur.

Χαλκιδίκη, κης, ἡ, urbis nomen, penacuitur.

Χαλκιδική, κῆς, ἡ, Chalcidica, nomen gentile, acuitur.

Χεῖλος, χείλεος, τὸ, labrum, penult. circumflectitur.

Χιλός, per ι, cibus, acuitur.

Χία, χίας, ἡ, Chia, gentile nomen, penacuitur.

Χιά, χιᾶς, ἡ, serpentis domus, acuitur.

Χίλων, χίλωνος, proprium, Chilo, penacuitur.

Χιλῶν, χιλοῦντος, ὁ, participium, circumflectitur.

Χίτων, χίτωνος, urbis nomen, penacuitur.

Χιτών, χιτῶνος, ὁ, tunica, acuitur.

Χρόα, absque ι, color, penacuitur

Χροιά, per οι, color, acuitur.

Χόα, τῆς χόας, ἡ, genus mensuræ, acuitur.

Χοά, τῆς χοᾶς, ἡ, festum quoddam, penacuitur.

Χρέων, fatale decretum, penacuitur.

Χρεών, debitum, acuitur.

Χρηστός, ὁ, bonus, utilis, acuitur.

Χρήστος, χρήστου, ὁ, Chrestus, viri nomen, penacuitur.

Ψ.

Ψάλλω, præsens, gemino λ, canto, penultima acuitur.

Ψαλῶ, futurum, unico λ, cantabo, circumflectitur.

Ψύχρος, ψύχρου, ἡ, Psychrus fluvius, penacuitur.

Ψυχρός, ψυχροῦ, ὁ, frigidus, acuitur.

Ω.

Ὦμος, ὤμου, ὁ, humerus, penult. circumflectitur.

Ὠμός, ὠμοῦ, ὁ, crudus, crudelis, acuitur.

Ὦχρος, ὤχρου, ὁ, pallor, penult. circumflectitur.

Ὠχρός, ὠχροῦ, ὁ, pallidus, acuitur.

Ὦ, ὦ, adverbium vocandi, circumflectitur.

Ὤ, heu, acuitur.

Ὥρα, ὥρας, pulchritudo, hora, aspiratur.

Ὤρα, ὤρας, cura, tenuatur.

ΑΜΜΩΝΙΟΥ

περὶ ὁμοίων καὶ διαφόρων λέξεων.

AMMONII

De similibus et differentibus vocabulis libellus.

EX EDITIONE L. C. VALCKENAER LUGD. BAT. APUD JOHANNEM LUZAC 1739.

ἌΒΑΞ καὶ Ἀβάκιον διαφέρει. Ἄβαξ μὲν γὰρ, ἐφ' οὗ τὰ πράγματα παρατιθέασιν. Ἀβάκιον δὲ, ἐφ' οὗ ψηφίζουσιν.

Ἀβέβηλα καὶ Βέβηλα διαφέρουσιν, ἄμφω ἐπ' ἀγαθῷ λαμβανόμενα. Ἀβέβηλα μὲν γὰρ, τὰ ἱερὰ, καὶ τὰ ἄψαυστα, καὶ μὴ βάσιμα. Βέβηλα δὲ, τὰ ὅσια μὲν, οὐχ' ἱερὰ δὲ, οἷον βάσιμα ὄντα. ἡ δὲ κοινὴ χρῆσις τοῦ βεβήλου τὴν ἐναντιωτάτην ἔχει πρὸς τὸ Ἀβέβηλον διαφοράν.

Ἄγγελος καὶ Ἐξάγγελος καὶ Αὐτάγγελος διαφέρουσιν. Ἄγγελος μὲν γὰρ, πᾶς ὁ ἀγγέλλων τὰ ἔξωθεν. Ἐξάγγελος δὲ, ὁ τὰ ἔνδοθεν τοῖς ἔξω διαγγέλλων· (ὃν Θουκυδίδης διάγγελον λέγει· ἦσαν γάρ τινες τῷ Νικίᾳ διάγγελοι.) Αὐτάγγελος δὲ, ὁ τὰ ἑαυτοῦ διαγγέλλων, καὶ μὴ ὑφ' ἑτέρου.

Ἄγειν καὶ Φέρειν διαφέρει. Ἄγεται μὲν γὰρ τὰ ἔμψυχα, φέρεται δὲ τὰ ἄψυχα.

Οἱ δ' ἦγον μὲν μῆλα, φέρον δ' εὔηνορα οἶνον.

Ἀγχιστεῖς καὶ Συγγενεῖς καὶ Οἰκεῖοι διαφέρουσιν. Ἀγχιστεῖς μὲν γὰρ, οἷς ἐπειδάν τις ἐκ τοῦ γένους ἀποθάνῃ, συγχωρεῖ ὁ νόμος ἀντιποιεῖσθαι τῶν τοιούτων δικαίων. Συγγενεῖς δὲ, οἱ ὄντες ἐκ τοῦ αὐτοῦ γένους, οὐ καλούμενοι δὲ ὑπὸ τῶν νόμων ἐπὶ τὰ ἀγχιστικὰ δίκαια. Οἰκεῖοι δὲ, οἱ κατ' ἐπιγαμίαν ἐπιμιχθέντες τῷ οἴκῳ.

Ἀγροῖκος καὶ Ἄγροικος διαφέρει. προπερισπωμένως μὲν, ὁ ἐν ἀγρῷ κατοικῶν. προπαροξυτόνως δὲ, ὁ σκαιὸς τοὺς τρόπους.

Ἄγριος καὶ Ἀγρεῖος διαφέρει. Ἄγριος μὲν γάρ ἐστιν ὁ ὠμός. Ἀγρεῖος δὲ, ὁ ἀγροῖκος.

Ἀγνοεῖν καὶ Ἀμφαγνοεῖν διαφέρει. Ἀγνοεῖν μὲν γάρ ἐστι τὸ καθόλου μηδὲν εἰδέναι. ἀμφαγνοεῖν δὲ, τὸ ἔν τισιν ἐπιδιστάζειν.

Ἀγωνοθέται μὲν ἐπὶ τῶν σκηνικῶν λέγονται, Ἀθλοθέται δὲ ἐπὶ τῶν γυμνικῶν.

Ἀγρονόμος, ἐὰν μὲν παροξύνωμεν, ἔσται ὁ ἐν ἀγροῖς νέμων· ἐὰν δὲ προπαροξύνωμεν, ἔσται ὁ ἐν ἀγροῖς νεμόμενος. τὰ γὰρ προπαροξυνόμενα χαίρουσιν ἀναλύεσθαι εἰς πάθη.

Ἀγόραιος, ἐὰν προπαροξυτόνως, σημαίνει τὸν πονηρὸν τὸν ἐν ἀγορᾷ τεθραμμένον. ἐὰν δὲ προπερισπωμένως, σημαίνει τὸν ἐν ἀγορᾷ τιμώμενον.

Ἀδεὴς καὶ Ἀδαὴς διαφέρει. Ἀδεὴς μὲν γὰρ διὰ τοῦ ἐψιλοῦ, ὁ ἄφοβος. Διὰ δὲ διφθόγγου, ὁ ἀμαθής.

Ἄελλα καὶ Θύελλα διαφέρει. Ἀελλὰ μὲν, ἄημα συνεστραμμένον. Θύελλα δὲ, ἄελλα θύουσα καὶ ὁρμῶσα.

Ἆθλος καὶ Ἆθλον διαφέρει. Ἀρσενικῶς μὲν γὰρ τὸν ἀγῶνα δηλοῖ, οὐδετέρως δὲ, τὸ ἔπαθλον.

Οὗτος μὲν γὰρ ἄεθλος ἀάατος ἐκτετέλεσται.
ἐπὶ δὲ τῶν ἐπάθλων,
—— ἀέθλια πόσσ' ἀνελόντες.

Ἀθῆναι καὶ Ἀττικὴ διαφέρει. Ἀθῆναι μὲν γὰρ ἡ πόλις ἐστὶν, ἀττικὴ δὲ ἥ τε πόλις καὶ ἡ χώρα.

Αἰτῶ καὶ Αἰτοῦμαι διαφέρει. τὸ μὲν γὰρ αἰτῶ ἐπὶ τοῦ ἅπαξ τι λαβεῖν, καὶ μὴ ἀποδοῦναι. τὸ δ' αἰτοῦμαι, ἐπὶ τοῦ χρήσασθαι εἰς ἀπόδοσιν. Μένανδρος ἐν τῷ Ὑμνίδι διαστέλλει,

Οὐ πῦρ γὰρ αἰτῶ, οὐδὲ λοπάδ' αἰτούμενος.

Αἰδὼς καὶ Αἰσχύνη διαφέρει, ὅτι ἡ μὲν αἰδώς ἐστιν ἐντροπὴ πρὸς ἕκαστον, ὡς σεβομένως τὶς ἔχει. Αἰσχύνη δ' ἐφ' οἷς ἕκαστος ἁμαρτὼν αἰσχύνεται, ὡς μὴ δέον τὶ πράξας. καὶ αἰδεῖται μέν τις τὸν πατέρα. αἰσχύνεται δὲ ὃς μεθύσκεται. Διαστέλλει δὲ Ἀριστόξενος ὁ μουσικὸς τὴν διαφορὰν ἐν τῷ πρώτῳ νόμῳ παιδευτικῶν. φησὶ γὰρ, διαφορὰν τήνδε νομιστέον αἰδοῦς τε καὶ αἰσχύνης, ὅτι ἡ μὲν αἰδὼς, πρὸς ἡλικίαν, πρὸς ἀρετὴν, πρὸς ἐμπειρίαν, πρὸς εὐδοξίαν. ὁ γὰρ ἐπιστάμενος αἰδεῖσθαι, πρὸς ἑκάστην τῶν εἰρημένων ὑπεροχῶν προσέρχεται, οὕτως διακείμενος, οὐ διὰ τὸ ἡμαρτηκέναι τὶ, ἀλλὰ διὰ τὸ σέβεσθαι καὶ τιμᾷν τὰς εἰρημένας ὑπεροχάς. ἡ δ' αἰσχύνη πρῶτον μὲν πρὸς πάντα ἄνθρωπον, ἔπειτα ἐπὶ τοῖς νομιζομένοις αἰσχροῖς,

Αἶνος καὶ Παροιμία διαφέρει. ὁ μὲν γὰρ αἶνός ἐστι λόγος κατὰ ἀναπόλησιν μυθικὴν, ἀπὸ ἀλόγων ζώων, ἢ φυτῶν, πρὸς ἀνθρώπους εἰρημένος, ὥς φησι Λούκιος Ταῤῥαῖος ἐν τῷ πρώτῳ παροιμιῶν. οἷον, ἀπὸ μὲν ἀλόγων ζώων, ὡς παρ' Ἀρχιλόχῳ,

Αἶνός τις ἀνθρώπων ὅδε,
Ὡς ἄρ' ἀλώπηξ τε κἀετὸς
Ξυνωνίην ἔθεντο. καὶ τὰ ἑξῆς.
καὶ πάλιν ὅταν λέγῃ,
Ἐρέω τιν' ὑμῖν αἶνον, ὦ Κηρυκίδη,
Ἀχνυμένη σκυτάλη,
εἶτ' ἐπιφέρει,
Πίθηκος ᾔει θηρίων ἀποκριθεὶς
Μοῦνος ἀν' ἐσχατιήν.
Τῷ δ' ἄρ' ἀλώπηξ κερδαλῆ συνήντετο,
Πυκνὸν ἔχουσα νόον.
καὶ Ἡσίοδος,
Νῦν δ' αἶνον βασιλεῦσ' ἐρέω νοέουσι καὶ αὐτοῖς,
Ὧδ' ἴρηξ προσέειπεν ἀηδόνα ποικιλόδειρον.
ἀπὸ δὲ φυτῶν, ὡς παρὰ καλλιμάχῳ,
Ἄκουε δὴ τὸν αἶνον. Ἔν κοτε Τμώλῳ
Δάφνην ἐλαίῃ νεῖκος οἱ παλαιοὶ Λυδοὶ
Λέγουσι θέσθαι. καὶ τὰ ἑξῆς.

καὶ ἔστιν ὁ Αἶνος ἐξηπλωμένη παροιμία, μετὰ διηγήσεως ἀπαρτίζουσα τὸ νοούμενον, πρὸς παραμυθίαν τε καὶ ὠφέλειαν ἀνθρώπων. Παροιμία δὲ ἡ τὴν ἀπὸ κεφαλαίου ἐπὶ τὸ χεῖρον ἀναφορὰν ἔχει ἐνδέουσαν τοῦ αἴνου, καὶ τὴν ἔξωθεν ἐνδεχομένη μετάβασιν. οἷον, Μένε βοῦς πότ' ἐν βοτάνῃ. καὶ, Ἃ κισσὸς μετ' ἀνθεστήρια.

Αἶθε καὶ Ὤφελον διαφέρει, τὸ μὲν γάρ ἐστιν ἀπαρεμφάτων προσώπων. τὸ δ' Ὤφελον ἐμφαίνει πρόσωπα, οἷον, ὤφελον ἐγὼ, ὤφελες σὺ, ὤφελεν ἐκεῖνος. διὸ τὸ Αἶθε ἐστὶν ἐπίῤῥημα, τὸ δ' Ὤφελον, ῥῆμα.

Αἰκίαι καὶ Ὕβρεις διαφέρουσιν. Αἰκίαι μὲν γάρ εἰσιν, αἱ ἄνευ προπηλακισμοῦ πληγαί. καθὰ καὶ Δημοσθένης ὁ ῥήτωρ φησίν· Ὕβρισμαι μὲν ἐγὼ, προπεπηλάκισται δὲ τὸ σῶμα τοὐμόν.

Αἰπόλος καὶ Ποιμὴν διαφέρει. Αἰπόλος μὲν γὰρ, ὁ ἐπὶ τῶν αἰγῶν τεταγμένος νομεύς. Ποιμὴν δὲ, ὁ ἐπὶ τῶν προβάτων.

Ἀκταὶ καὶ Θῖνες διαφέρουσιν. Ἀκταὶ μὲν γάρ εἰσιν οἱ πετρώδεις τόποι τῆς θαλάσσης. Θῖνες δὲ, οἱ ἀμμώδεις.

Ἀκόντιον Δόρατος διαφέρει. Ἀκόντιον μὲν γὰρ, τὸ ἀκοντιζόμενον, ἔλαττον δόρατος. Δόρυ δὲ, τὸ μεῖζον, ᾧ ἐκ χειρὸς ἐχρῶντο. παρὰ δὲ Ὁμήρῳ, καὶ τὸ δόρυ προϊέναι.

Ἀκαιρία Ἀσχολίας διαφέρει. Ἀκαιρία μὲν γάρ ἐστιν ἔνδεια καιροῦ ἐπιτηδείου. Ἀσχολία δὲ, ἡ περί τι ἄλλο ἀναστροφή.

Ἀκαρὴς σὺν τῷ σ, καὶ Ἀκαρῆ ἄνευ τοῦ σ, διαφέρει. Ἀκαρῆ μὲν γὰρ ἄνευ τοῦ σ, σημαίνει τὸ βραχύ. οἷον, Οὐδ' ὅσον ἀκαρῆ τῆς τύχης ἐπίσταμαι. Ἀκαρὴς δὲ σημαίνει τὸ παρὰ βραχὺ ὄν. Κατέπεσον ἀκαρὴς τῷ δέει.

Ἀληθὲς καὶ Ἄληθες διαφέρει. Ἀληθὲς μὲν γὰρ ὀξυτόνως, τὸ ἐναντίον τῷ ψεύδει. Ἄληθες δὲ προπαροξυτόνως, τὸ κατ' ἐπερώτησιν λεγόμενον.

Ἁλοᾶν καὶ Ἀλοιᾶν διαφέρει. Ἁλοᾶν μὲν γὰρ δασέως, τὸ ἐπὶ τῆς ἅλω πατεῖν καὶ τρίβειν τοὺς στάχυας. Ἀλοιᾶν δὲ ψιλῶς, τὸ τύπτειν. Ἀριστοφάνης,

Ἡ μητέρ' ἠλοίησεν, ἢ πατρὸς γνάθον
Ἐπάταξεν.

ἀφ' οὗ καὶ μητραλοίαν φαμὲν καὶ πατραλοίαν.

Ἀλλοίωσις Ἑτεροιώσεως διαφέρει. Ἀλλοίωσις μὲν γὰρ οὐ μόνον μεταχαρακτηρισμὸς, ἀλλὰ καὶ τῆς πρότερον ὑπολήψεως οἴησις ἑτέρα. Ἑτεροίωσις δὲ, ὅταν ἀφ' ἑτέρου χρώματος εἰς ἕτερον μεταβάλλῃ.

Ἁλίπαστον καὶ Ἁλίσπαρτον διαφέρει. τὸ μὲν γὰρ ἁλὶ πεπασμένον κρέας ἢ ἰχθὺν, ἔλεγον Ἁλίπαστον. Ἁλίσπαρτον δὲ, τὴν ἁλὶ ἐσπαρμένην χώραν, ὡς τινῶν φθονερῶν τοῦτο ποιούντων, ὅθεν καὶ ὁ βίος τοὺς ἠκισμένους καὶ δυσθεραπεύτως ἔχοντας τὰ σώματα, ἁλισπάρτους καλεῖ.

Ἄλλος καὶ Ἕτερος διαφέρει. Ἕτερος μὲν γὰρ, ἐπὶ δυοῖν. Ἄλλος δὲ, ἐπὶ πλειόνων.

Ἁματροχία καὶ Ἁρματροχία διαφέρει. Ἁματροχία μὲν γάρ ἐστιν ἡ ταυτοσυνδρομὴ τῶν ἁρμάτων.

Τῇ ῥ' εἶχε Μενέλαος ἁματροχίας ἀλεείνων.

Ἁρματροχία δὲ, ὁ τύπος καὶ ἡ ἐγχάραξις τοῦ τροχοῦ ἡ ἐπὶ τῆς γῆς,

—— οὐδέ τι πολλὴ
Γίνετ' ἐπισσώτρων ἁρματροχιὴ κατόπισθεν
Ἐν λεπτῇ κονίῃ.

Ἀμυγδαλῆ καὶ Ἀμυγδάλη διαφέρουσιν. Ἀμυγδαλῆ μὲν γὰρ περισπωμένως, τὸ δένδρον δηλοῖ. Ἀμυγδάλη δὲ παροξυτόνως, τὸν καρπόν. καθὰ καὶ Εὔπολις ἐν Ταξιάρχοις φησὶ,

Δίδου μασᾶσθαι Ναξίας ἀμυγδάλας.

Ἅμα καὶ Ὁμοῦ διαφέρει. Ἅμα μὲν γάρ ἐστι χρονικὸν ἐπίῤῥημα. Ὁμοῦ δὲ, τοπικόν. Σόλων μὲν γὰρ ἅμα ἐγένετο Ἀναχάρσιδι τῷ Σκύθῃ, εἴπερ κατὰ τὸν αὐτὸν χρόνον ἤκμασαν. ὁμοῦ μέντοι οὐκέτι· οὐ γὰρ ἐν τῷ αὐτῷ τόπῳ ἐγεννήθησαν, ἀλλ' ὁ μὲν Ἀθήνησιν, ὁ δ' ἐν Σκυθίᾳ. καὶ Ὅμηρος διαστέλλει,

Ἔνθ' ἅμα οἰμωγή τε καὶ εὐχωλὴ πέλεν ἀνδρῶν,
Ὀλλύντων καὶ ὀλλυμένων.
ἀντὶ τοῦ, κατὰ τὸν αὐτὸν χρόνον. καὶ,
Αὐτὰρ ἐπεὶ κόσμηθεν ἅμ' ἡγεμόνεσσιν ἕκαστοι.
καὶ,
Οἱ δ' ἅμα πάντες ἐφ' ἵπποισι μάστιγας ἄειραν.
τοπικῶς δὲ τὸ Ὁμοῦ,
Τῇ ὁμοῦ ἐτρεφόμην·
καὶ πάλιν,
Ἀλλά θ' ὁμοῦ πίνακάς τε νεῶν καὶ σώματα φωτῶν.
ἀντὶ τοῦ, ἐν τῷ αὐτῷ τόπῳ. καὶ,
Τοῦ περ δὴ δύο παῖδε λάβε κρείων Ἀγαμέμνων
Εἰν ἑνὶ δίφρῳ ἐόντας, ὁμοῦ δ' ἔχον ὠκέας ἵππους.

ἔσθ' ὅτε δ' ὁ ποιητὴς τὸ Ὁμοῦ καὶ ἐπὶ χρονικοῦ τάσσει ἐπιῤῥήματος, ὥς φησιν Ἀσκληπιάδης·

Εἰ δὴ ὁμοῦ πόλεμός τε δαμᾷ καὶ λοιμὸς Ἀχαιούς.

εἰ μὴ ἄρα τις εἴποι, καὶ νῦν τὸ Ὁμοῦ, ἐν τῷ αὐτῷ τόπῳ. οἷον, ἐν Τροίᾳ ὅ τε λοιμὸς καὶ ὁ πόλεμος δαμάζει τοὺς Ἀχαιούς.

Ἀμφότεροι καὶ Ἑκάτεροι διαφέρουσιν. Ἀμφότεροι μὲν γὰρ ἐροῦμεν, ὅταν ἐν τῷ αὐτῷ κατὰ τὸ αὐτὸ πράττωσιν. Ἀμφότεροι τὴν δοκὸν μίαν οὖσαν φέρουσιν. Ἑκάτεροι δὲ, ἐπειδὰν χωρὶς ἑκάτερος τὸ ἑαυτοῦ πράττῃ· οἷον, Ἑκάτερος αὐτῶν δοκὸν φέρει. ἤτοι ὅταν ἑκάτερος αὐτῶν μίαν φέρῃ κατ' ἰδίαν.

Ἀμύνεσθαι καὶ Ἀμύνειν διαφέρει. Ἀμύνεσθαι μὲν γάρ ἐστι τὸ κολάζειν τοὺς προαδικήσαντας· Ἀμύνειν δὲ, τὸ βοηθεῖν.

Ἁμαρτάνει ὁ πλημμελῶν, Διαμαρτάνει δὲ ὁ ἀποτυγχάνων.

Ἄμητος καὶ Ἀμητὸς διαφέρει. Ἄμητος μὲν γὰρ προπαροξυτόνως, σημαίνει αὐτὰ τὰ θερίσματα, τοῦτ' ἔστι τὸν καρπόν· ὀξυτόνως δὲ, ὁ καιρὸς τοῦ θερισμοῦ. ὥσπερ καὶ ὁ Τρυγητὸς, ὁ καιρὸς τοῦ τρυγᾶν.

Ἄμαθος καὶ Ψάμαθος διαφέρει. Ἄμαθος μὲν γὰρ, ἡ ἐν πεδίῳ κόνις. Ψάμαθος δὲ, ἡ παραθαλασσία ἄμμος.

Ἀνακεῖσθαι καὶ Κατακεῖσθαι διαφέρει. Ἀνάκειται μὲν γὰρ ὁ ἀνδριὰς καὶ ἡ εἰκὼν τῷδε κατὰ τίμην. Κατάκειται δὲ ὁ εὐωχούμενος.

Ἀνδραγάθημα καὶ Ἀνδρία διαφέρει. Ἀνδραγάθημα μὲν γάρ ἐστιν, εἰ καὶ τὴν ψυχικὴν ἀρετὴν ἔχει μαρτυροῦσαν. Ἀνδρία δὲ, δύναμις ἐπαινουμένη.

Ἀνοχὴ καὶ Ἐπικηρυκεία διαφέρει. Ἀνοχὴ μὲν γάρ ἐστιν ἡ ἐν πολέμῳ διά τινα χρείαν ἀναβολὴ κατὰ συνθήκην κοινῇ, τοῦ ἐπιέναι ἀλλήλοις. Ἐπικηρυκεία δέ ἐστιν, ὅταν οἱ ἕτεροι πέμπουσι τοὺς αἰτησομένους ἀνοχὰς, ἢ σπονδὰς, ἢ εἰρήνην.

Ἀνάμνησις καὶ Ὑπόμνησις διαφέρει. Ἀνάμνησις γάρ ἐστιν, ὅταν τις ἔλθῃ εἰς μνήμην τῶν παρελθόντων. Ὑπόμνησις δὲ, ὅταν ὑφ' ἑτέρου εἰς τοῦτο προαχθῇ.

Ἀναβάλλεσθαι καὶ Ὑπερτίθεσθαι διαφέρει. Ἀναβάλλεσθαι μὲν γάρ ἐστι τὸ προΐεσθαι καὶ παριέναι τὸν ἐπιτήδειον καιρὸν τῶν πράξεων· Ὑπερτίθεσθαι δὲ, τὸ ἐπιμένειν τὸν ἐπιτήδειον καιρὸν τῶν πράξεων.

Ἀνακωχὴ καὶ Ἀνοκωχὴ διαφέρει. Ἀνακωχὴ μὲν γάρ ἐστιν ἡ ἐπὶ τῶν νεῶν ἀναχώρησις· ἡ δὲ διὰ τοῦ ο Ἀνοκωχὴ, ἀνοχὴ μακρὰ πολέμου. Διακωχὴ καὶ Ὀκωχὴ, διάλειψίς τις καὶ ἄνεσις.

Ἀνάλγητος καὶ Ἀναλγὴς διαφέρει. Ἀνάλγητος μὲν γάρ ἐστιν ὁ ἀνεπίστρεπτος τοῦ καθήκοντος. Ἀναλγὴς δὲ, ὁ μὴ ἀνιῶν.

Ἄντικρυς καὶ ἀντικρὺ διαφέρει. Ἀντικρὺ μὲν γὰρ τὸ ἐπ' εὐθείας, καὶ ἐξ ἐναντίας, χωρὶς τοῦ σ, ὡς καταντικρύ. Ἄντικρυς δὲ, τὸ διαῤῥήδην καὶ φανερῶς, καὶ ἐπ' εὐθείας τοπικόν.

Ἀναβάτης καὶ Ἐπιβάτης διαφέρει. Ἀναβάτης μὲν γὰρ, ἐπὶ ἵππου. Ἐπιβάτης δὲ, ἐπὶ νηός.

Ἀναστῆναι καὶ Ἐγερθῆναι διαφέρει. Ἀναστῆναι μὲν γὰρ ἐπὶ ἔργον. Ἐγερθῆναι δὲ, ἐξ ὕπνου.

Ἀναγόμενοι καὶ Ἀναρθέντες διαφέρει. Ἀνήγοντο μὲν γὰρ οἱ πλέοντες, ἀναγόμεναί τε αἱ νῆες· ἀνήχθησαν δέ τινες εἰς τὸ στρατηγεῖον.

Ἀνεψιοὶ καὶ Ἐξανεψιοὶ διαφέρουσιν. Ἀνεψιοὶ μὲν γάρ εἰσιν οἱ τῶν ἀδελφῶν παῖδες· Ἐξανεψιοὶ δὲ, οἱ τῶν ἀνεψιῶν παῖδες.

Ἀναγκάζειν καὶ Βιάζεσθαι διαφέρει. Ἀναγκάζειν μὲν γάρ ἐστιν ἐπὶ ἐμψύχων. Βιάζεσθαι δὲ, ἐπὶ ἀψύχων, οἷον, βιάζεσθαι τὴν ναῦν.

Ἄναρχον καὶ Ἀναίτιον διαφέρει· ὅτι τὸ μὲν Ἀναίτιον πρὸς ἕτερον λέγεται· τὸ δ' Ἄναρχον πρὸς ἑαυτόν.

Ἄντρον καὶ Σπήλαιον διαφέρει. Ἄντρον μὲν, τὸ αὐτοφυὲς κοίλωμα, Σπήλαιον δὲ, τὸ χειροποίητον.

Ἄνοια καὶ Ἀφροσύνη διαφέρει. Ἀνόητος μὲν γάρ ἐστιν ὁ μηδὲν νοῶν· Ἄφρων δὲ, ὁ νοῶν μὲν, οὐ φρονίμως δὲ διοικῶν.

Ἄξονες καὶ Κύρβεις διαφέρουσιν. οἱ μὲν Ἄξονες ἦσαν τετράγωνοι, οἱ δὲ Κύρβεις, τρίγωνοι· καὶ οἱ μὲν Ἄξονες εἶχον τοὺς ἰδιωτικοὺς νόμους ἐγγεγραμμένους, οἱ δὲ Κύρβεις δημοσίας ἱεροποιίας, καὶ εἴ τι ἕτερον τοιοῦτον.

Ἀξιόχρεως μὲν ἐστιν, ὁ ἐπιλῦσαί τι ἱκανός. Ἀξιόπιστος δὲ, ὁ πιστεύεσθαι ἄξιος.

Ἀξίωμα μὲν ἐστι τὸ καθ' ὑπερβολὴν διαπρέπον. Ἀξία δὲ, ἡ ἐκ δοκιμασίας εὐαρέστησις.

Ἀποστάσιον Ἀπροστασίου διαφέρει. Ἀποστασίου μὲν δίκην ἔλεγον, ὁπότε ἀπελεύθερος κρίνοιτο, ὡς ἀποστὰς τοῦ δεσπότου· Ἀπροστασίου δὲ, ὁπότε μέτοικος ἐγκαλοῖτο, ὡς μὴ ἔχων προστάτην.

Ἀποκήρυκτος, καὶ Ἐκποίητος διαφέρει. Ἀποκήρυκτος μὲν γάρ ἐστιν, ὁ ἐπὶ ἀδικήματι ὑπὸ τοῦ πατρὸς ἐκβληθεὶς τῆς οἰκίας. Ἐκποίητος δὲ, ὁ δοθεὶς ὑπὸ τοῦ πατρὸς εἰς υἱοθεσίαν ἄλλῳ· ὃ λέγουσιν, Εἰσποίητος γέγονεν.

Ἀπολογεῖσθαι καὶ Ἀπολογίζεσθαι διαφέρει. Ἀπολογεῖσθαι μὲν γάρ ἐστι, τὸ ἐπὶ τῷ λόγῳ τὴν κατηγορίαν ἀνασκευάζειν. Ἀπολογίζεσθαι δὲ, τὸ ἀποδοῦναι τὸν λόγον τῶν δαπανημάτων. καὶ γὰρ τὸ ἁπλοῦν Λογίζεσθαι. καὶ Λογισταὶ, ἀριθμηταί.

Ἀποδρᾶναι καὶ Ἀποφεύγειν διαφέρει. Ἀποδρᾶναι μὲν γὰρ, τὸ ἀναχωρήσαντά τινα εὔδηλον εἶναι ὅπου ἐστίν. Ἀποφεύγειν δὲ, τὸ μὴ δύνασθαι ἐπιληφθῆναι. λέγει δὲ Ξενοφῶν τὴν διαφορὰν ἐν τῇ Ἀναβάσει, Οὔτε ἀποδεδράκασιν, (οἶδα γὰρ ὅπου οἴχονται) οὔτε ἀποπεφεύγουσιν.

Ἀπὸ καὶ Παρὰ διαφέρει. ἡ μὲν γὰρ Ἀπὸ τίθεται ἐπὶ τῶν ἀψύχων· οἷον, ἀπ' Ἀθηνῶν· ἡ δὲ Παρὰ, ἐπὶ τῶν ἐμψύχων. οἷον, παρὰ Σωκράτους. οἱ ἐναλλάσσοντες δὲ ἁμαρτάνουσιν, ἢ ἀλλαγῇ προθέσεως χρῶνται, ὡς καὶ Ὅμηρος,

—— παρὰ νηῶν ἀνιόντε.

ἀντὶ τοῦ ἀπὸ τῶν νηῶν. ὡς καὶ ἀλλαχοῦ φησι κυρίως,

Οὔτε ποτε προτρέποντο μελαινάων ἀπὸ νηῶν.

Ἀπελεύθερος καὶ Ἐξελεύθερος διαφέρουσιν. Ἀπελεύθερος μὲν γάρ ἐστιν ὁ ἐκ δούλου ἠλευθερωμένος. Ἐξελεύθερος δὲ, ὁ γενόμενος διὰ χρέα προσήλυτος, ἢ κατὰ ἄλλην τινὰ αἰτίαν δουλεύσας, εἶτα ἐλευθερωθείς. ἤδη μέν τοι καὶ ἀδιαφόρως χρῶνται τοῖς νοήμασιν.

Ἀποφορὰ καὶ Εἰσφορὰ διαφέρει. Ἀποφορὰ μὲν γάρ ἐστι τὰ ἀπὸ τῶν δούλων τοῖς δεσπόταις παρεχόμενα χρήματα, ἣν καὶ Ἀναφορὰν καλοῦσιν. Εἰσφορὰ δὲ, τὰ ὑπὸ τῶν πολιτῶν.

Ἀποκριθῆναι καὶ Ἀποκρίνασθαι διαφέρει. Ἀποκριθῆναι μὲν γάρ ἐστι τὸ ἀποχωρισθῆναι. Ἀποκρίνασθαι δὲ, τὸ ἐρωτηθέντα λόγον δοῦναι.

Ἀπονίψασθαι, καὶ Κατὰ χειρὸς ὕδωρ αἰτῆσαι, διαφέρει. Ἀπονίψασθαι μὲν γάρ ἐστι μετὰ τὸ φαγεῖν. Κατὰ χειρὸς δὲ ὕδωρ αἰτῆσαι, πρὸ τοῦ φαγεῖν.

Ἀποφορὰ καὶ Ἀναφορὰ διαφέρει. Ἀποφορὰ μὲν γάρ ἐστιν, ὁ νῦν καλούμενος φόρος. Ἀναφορὰ δὲ, ὁ ἀπὸ τῶν εὐωδῶν ἢ δυσωδῶν ἀναφερόμενος ὀσμός.

Ἀπέθανε καὶ Τέθνηκε διαφέρει. Ἀπέθανε μὲν νῦν, Τέθνηκε δὲ πάλαι· ὡς, Περιεπάτησε μὲν ὁ δεῖνα σήμερον, Περιπεπάτηκε δὲ πάλαι.

Ἀπόδοσις μὲν Ἀψύχου λέγεται, Ἀποκατάστασις δὲ ἐμψύχου καὶ ἀγομένου.

Ἄρχειν καὶ Κρατεῖν διαφέρει. Ἄρχειν μὲν γὰρ, τὸ τινῶν ἐπ' ὠφελείᾳ προΐστασθαι· Κρατεῖν δὲ, τὸ βίᾳ τινὰς ἄγειν ὑπακουομένους ἐπὶ δουλείᾳ. καθὸ καὶ τῶν θηρίων κρατεῖν, ἀλλ' οὐκ ἄρχειν λέγεται.

Ἁρπαγὴ καὶ Ἁρπάγη διαφέρει παρὰ τοῖς παλαιοῖς Ἀττικοῖς, ὥς φησι Τρύφων ἐν τῷ τρίτῳ περὶ Ἀττικῆς προσῳδίας. ἐὰν μὲν ὀξυτόνως προενεγκώμεθα, καθάπερ ἐν τῇ συνηθείᾳ, τὴν αἰφνίδιον καὶ μετὰ βίας ἀφαίρεσιν δηλώσει· ἐὰν δὲ βαρυτόνως ἁρπάγην, ὡς Ἀνάφην, ἐν ᾗ ἐκ τῶν φρεάτων τοὺς κάδους ἐξαίρουσι· καὶ παρὰ Μενάνδρῳ ἀναγινώσκομεν,

Ποτήριον, τράπεζαν, ἁρπάγην, δεύτερον κάδον.

καὶ ἐν Ἡνιόχῳ,

Τὸν παῖδα δ' οὐ δίδομεν, ἀλλ' ἁρπάγην
Αὐτῷ κατασκευάζομεν.

Ἆρα καὶ Ἄρα διαφέρει. ὁ μὲν γὰρ κατὰ περισπασμὸν λεγόμενος σύνδεσμος, ἀπορηματικός ἐστιν, ὅτε ἀποροῦντες λέγομεν, Ἆρα τέλος ἕξει τὸ πρᾶγμα; ὁ δὲ κατὰ συστολὴν, συλλογιστικός. εἰ ἡμέρα ἐστὶ, φῶς ἐστι· ἀλλὰ μὴν ἡμέρα ἐστί. φῶς ἄρα ἐστί. εἰ τοῦτο συμφέρον ποιεῖν, ποιητέον ἡμῖν ἄρα ἐστί.

Ἄρτι καὶ Ἀρτίως διαφέρει. Ἄρτι μὲν γάρ ἐστι χρονικὸν ἐπίῤῥημα, τὸ δ' Ἀρτίως, ἐπὶ τοῦ ἀπηρτισμένου ἔργου τελείως. ὥστε ἁμαρτάνει Σαπφὼ, λέγουσα,

Ἀρτίως μὲν ἁ χρυσοπέδιλος αὐώς.

ἀντὶ χρονικοῦ ἐπιῤῥήματος. παρὰ δὲ τοῖς Ἀττικοῖς Ἀρτίως σημαίνει αὐτῆς τῆς ὥρας· τὸ δ' Ἄρτι παρατατικὸς, καὶ ἐπὶ τοῦ παρῳχηκότος.

Ἀράχνη καὶ Ἀράχνιον διαφέρει. Ἀράχνη μὲν γὰρ θηλυκῶς, τὸ ὕφασμα, καὶ οὐδετέρως τὸ Ἀράχνιον· ἀρσενικῶς δὲ ὁ Ἀράχνης, τὸ ζῶον.

Ἄρνες καὶ Ἀρνειοὶ διαφέρουσιν. Ἄρνες μὲν γὰρ λέγονται οἱ νεογνοί.

Ὡς δὲ λύκοι ἄρνεσσιν ἐπέχραον.

Ἀρνειοὶ δὲ, οἱ προήκοντες τῇ ἡλικίᾳ.

Ἀρνειῷ μιν ἔγωγε ἐΐσκω πηγεσιμάλλῳ,
Ὅστ' οἰῶν μέγα πῶϋ διέρχεται ἀργεννάων.

Ἄῤῥωστος καὶ Ἀῤῥωστῶν διαφέρει. Ἄῤῥωστος μὲν γὰρ, ὁ νοσῶν. Ἀῤῥωστῶν δέ ἐστιν, ὁ ἀδυνατῶν ἐπιτελεῖν τὰ κατὰ τὰς ὀρέξεις, ὡς Ἀριστοφάνης φησίν.

Ἀῤῥωστεῖν τοῦ Νοσεῖν διαφέρει. Ἀῤῥωστεῖ μὲν γὰρ ὁ καχεκτῶν τῷ σώματι. Νοσεῖ δὲ ὁ κλινήρης.

Ἀῤῥωδεῖν καὶ Ὀῤῥωδεῖν διαφέρει. τὸ μὲν γὰρ διὰ τοῦ ο, σημαίνει τὸ εὐλαβεῖσθαι. οὕτως γὰρ ἐξηγοῦνται τὴν λέξιν. Ὄῤῥος λέγεται ὁ περὶ τοὺς γλουτοὺς τόπος, ὅν τινες ταῦρον λέγουσιν· ὅθεν καὶ τῶν ὀρνέων ὁ τόπος οὗτος ὀῤῥοπύγιον καλεῖται, οὐχ, ὥς τινες ἀγνοοῦντες, ὀρθοπύγιον. ἐτύμως δ' εἴρηται, ὅρος ὢν τῆς πυγῆς, καὶ οἱονεὶ ὀροπύγιον. οἱ δ' εὐλαβούμενοι περί τινος, ἀνασπᾶν εἰώθασι τὸ αἰδοῖον, πολλάκις δὲ καὶ τὰ ἄλογα τῶν ζώων ὑποστέλλειν εἰώθασι τὴν οὐρὰν, ὅταν εὐλαβῆται. εὐλόγως οὖν ἐκ τοῦ παρακολουθοῦντος τῷ ὀῤῥωδεῖν εἴρηται ἐπὶ τοῦ εὐλαβεῖσθαι. καὶ Εὐριπίδης τὸν Περσέα λέγοντα εἰσάγει,

Τὰς συμφορὰς γὰρ τῶν κακῶς πεπραχότων
Οὐπώποθ' ὕβρισ' αὐτὸς ὀῤῥωδῶν παθεῖν.

καὶ τὸ μὲν Ὀῤῥωδεῖν τοιοῦτον. τὸ δ' Ἀῤῥωδεῖν, οἷον κατὰ στέρησιν, τοῦτ' ἔστι, μὴ εὐλαβεῖσθαι, ἀλλὰ καταφρονεῖν, καὶ τεθαῤῥηκέναι.

Ἀσφόδελος καὶ Ἀσφοδελὸς διαφέρει. προπαροξυτόνως μὲν γὰρ, τὸ φυτόν. ὀξυτόνως δ' ὁ τόπος.

——κατ' ἀσφοδελὸν λειμῶνα.

Ἀστεῖος καὶ Ἀστικὸς διαφέρει. Ἀστεῖος μὲν γὰρ, ὁ πιθανὸς καὶ χαρίεις, ἢ καθόλου ἐπιδέξιος ἐν πολιτικῇ ὁμιλίᾳ· Ἀστικὸς δὲ, ὁ ἐν ἄστει διατρίβων.

Ἄστρον καὶ Ἀστὴρ διαφέρει. Ἄστρον μὲν γάρ ἐστι τὸ ἐκ πολλῶν ἀστέρων μεμορφωμένον ζώδιον, οἷον Ὠρίων, Ἄρκτος. Ἀστὴρ δὲ, ὁ εἷς.

Ἀτέχνως καὶ Ἀτεχνῶς διαφέρει. τὸ μὲν γὰρ παροξύτονον σημαίνει τὸ χωρὶς τέχνης, καὶ ἀμαθῶς. τὸ δὲ περισπώμενον τίθεται ἀντὶ τοῦ ἁπλῶς, καὶ ἀδόλως καὶ καθάπαξ, καὶ καθόλου, ἄντικρυς, ἢ φανερῶς.

Ἀτιμοῦται καὶ Ἀτιμάζεται διαφέρει. Ἀτιμοῦται μὲν γάρ τις ὑπὸ τῶν νόμων ὁλοσχερεῖ ἀτιμίᾳ. Ἀτιμάζεται δὲ ὁ ὑβριζόμενος ἔν τινι πράγματι.

Ἄττα ψιλούμενον καὶ δασυνόμενον διαφέρει. ψιλούμενον μὲν γὰρ σημαίνει τὸ τινά. δασυνόμενον δὲ, τὸ ἅτινα.

Ἀτελὲς καὶ Ἀτέλεστον διαφέρει. Ἀτελὲς μὲν γάρ ἐστι τὸ μήπω τετελεσμένον· Ἀτέλεστον δὲ, τὸ ἀδύνατον τελεσθῆναι, οἱ οὖν ἐναλλάσσοντες ταῦτα, ἀκυρολογοῦσιν.

Αὐχὴν καὶ Δέρη διαφέρει. Αὐχὴν μὲν γὰρ λέγεται τὸ ὄπισθεν τοῦ τραχήλου. Δέρη δὲ τὸ ἔμπροσθεν, καθ' ὅ ἐστιν ἡ φάρυγξ.

Αὖθις καὶ Αὖθι χωρὶς τοῦ σ διαφέρει. τὸ μὲν Αὖθις ἐστι τὸ πάλιν, ἢ μετὰ ταῦτα· τὸ δ' Αὖθι, αὐτόθι. κακῶς οὖν Καλλίμαχός φησι,

Αὖθι τό δ' ἐκδύοιμι. ἀντὶ τοῦ μετὰ ταῦτα.

Αὖθις διὰ μὲν τοῦ θ, σημαίνει τὸ πάλιν· διὰ δὲ τοῦ τ, τὸ ὕστερον.

Ἄχρι χωρὶς τοῦ σ, χρονικὸν ἐπίῤῥημα. Ἄχρις δὲ μετὰ τοῦ σ, ἀντὶ τοῦ ἀκριβῶς. Ὅμηρος, Ἄχρις ἀπηλοίησεν· οἷον ἀκριβῶς ἀπέκοψεν.

B.

Βασιλεὺς, Κοίρανος, καὶ Ἡγεμὼν διαφέρει. Βασιλεὺς μὲν γάρ ἐστι ὁ πατρόθεν ἢ ἀπὸ γένους τὴν ἀρχὴν παραλαβών. Κοίρανος δὲ, ὁ πρὸς καιρὸν τὸ τοῦ βασιλέως ἔργον ἐπιτελῶν, οἷος ἦν πρὸ τῆς μήνιδος ὁ Ἀχιλλεύς.

Ὣς ὅγε κοιρανέων δίεπε στρατόν.

Ἡγεμὼν δέ ἐστιν ὁ τάξεως στρατιωτικῆς ἡγούμενος, ὡς ὁ ποιητής φησιν,

Αὐτὰρ ἐπεὶ κόσμηθεν ἅμ' ἡγεμόνεσσιν ἕκαστοι.

Βάρβαρον καὶ Βαρβαρικὸν διαφέρει. Βάρβαρον μὲν γάρ ἐστιν ὄνομα τὸ οὐχ' ἑλληνικόν. Βαρβαρικὸν δὲ, τὸ τῶν βαρβάρων.

Βάραθρος καὶ Βάραθρον διαφέρει. Βάραθρος μὲν γὰρ, ὁ βαράθρου ἄξιος ἄνθρωπος· Βάραθρον δὲ, ὄρυγμά τι Ἀθήνησιν, εἰς ὃ τοὺς κακούργους ἐνέβαλλον, ὥσπερ οἱ Λακεδαιμόνιοι τοὺς καταδικαζομένους ἔβαλλον εἰς τὸν Κεάδα.

Βασιλεῖα καὶ Βασίλεια διαφέρει· προπερισπωμένως μὲν ἡ βασιλέως ἀρχή· προπαροξυτόνως δὲ, ἡ βασιλέως γυνή.

Βάρις μὲν γάρ ἐστιν Αἰγύπτιον πλοῖον, λέγεται δὲ καὶ ἡ μεγάλη οἰκία, ὡς ὑπὸ Φιλίππου.

Βάσανος, ἥ τε δοκιμασία, καὶ ἡ τῶν πληγῶν.

Βασκαίνειν οὐ μόνον τὸ φθονεῖν, ἀλλὰ καὶ τὸ συκοφαντεῖν. ὡς Δημοσθένης ἐν τῷ περὶ στεφάνου, Ἄν τι δύσκολον συμβῇ, τοῦτο βασκαίνουσιν.

Βεβλῆσθαι καὶ Οὐτᾶσθαι διαφέρει. Βεβλῆσθαι μὲν γάρ ἐστι τὸ ἐκ βολῆς τετρῶσθαι, καὶ ἐκ τῶν ἐναντίων. Οὐτᾶσθαι δὲ, τὸ ἐκ χειρὸς τετρῶσθαι.

Βιοῦν καὶ Ζῆν διαφέρει. Βιοῦν μὲν γὰρ, ἐπὶ ἀνθρώπων μόνων λέγεται. Ζῆν δὲ, ἐπὶ ἀνθρώπων καὶ ἀλόγων ζώων. ἤδη δέ ποτε καὶ ἐπὶ φυτῶν.

Βίος Ζωῆς διαφέρει. Βίος μὲν ἐπὶ τῶν λογικῶν τάσσεται ζώων, τουτέστιν ἀνθρώπων μόνων. Ζωὴ δὲ, ἐπὶ ἀνθρώπων καὶ ἐπὶ τῶν ἀλόγων ζώων. ἐντεῦθεν Ἀριστοτέλης τὸν βίον ὡρίσατο οὕτως, Βίος ἐστὶ λογικὴ ζωή. ὁ οὖν ἐπὶ τῶν θηρίων βίον τάσσων ἀκυρολογεῖ.

Βιῶναι μέν ἐστι τὸ ζῆν. Βιοτεύειν δὲ, τὸ πορίζειν τὰ πρὸς τὸν βίον. Βιοῦν μὲν φήσομεν ἀνθρώπους. Ζῆν δὲ καὶ τὸ ἄλογον ζῶον.

Βλέπειν καὶ Θεᾶσθαι διαφέρουσιν. Βλέπειν μὲν γὰρ κυρίως, τὸ ὁρᾷν τι ὁποσοῦν· Θεᾶσθαι δὲ, τὸ ὁρᾷν τι τῶν τεχνικῶς γινομένων, οἷον πάλην, παγκράτιον, γραφήν.

Βλέφαρα καὶ Βλεφαρίδες διαφέρουσι. Βλέφαρα μὲν γάρ ἐστιν αὐτὰ τὰ ἐπικλειόμενα δέρματα. Βλεφαρίδες δὲ, αἱ τρίχες αἱ ἐπὶ τῶν βλεφάρων.

Βόος καὶ Βόειος διαφέρει. Βόος μὲν γὰρ ποῦς ἐστιν ἐπὶ ζῶντος. Βόειος δὲ, ὁ τοῦ νεκροῦ.

Βούλει καὶ Βούλῃ διαφέρει. τὸ βούλει μὲν γὰρ ὁριστικόν ἐστιν, οἷον βούλει σχολάσαιμι. τὸ Βούλῃ δὲ, διστακτικῶς, οἷον βούλῃ πορευσώμεθα.

Βοηθεῖ μὲν ὁ συνὼν, Ἐπικουρεῖ δὲ ὁ ἔξωθεν εἰς βοήθειαν ἥκων. Συμμαχεῖ δὲ ὁ αὐτόθεν. Ὑπερμαχεῖ δὲ ὁ ἀδυνάτῳ χρησιμεύων. Ἀμύνει δὲ ὁ τιμωρούμενος ὑπὲρ τοῦ ἀπολωλότος.

Βουκολεῖν καὶ Ἐξαπατᾷν διαφέρει. Βουκολεῖν μέν ἐστι τὸ ἐπιπλεῖστον ἀεὶ παραλογίζεσθαι. Ἐξαπατᾷν δὲ, τὸ περὶ οἵου πράγματα συναρπάζειν.

Βουλεύσασθαι καὶ Βουλεῦσαι διαφέρει. Βουλεύσασθαι μὲν γάρ ἐστι ταυτὸν τῷ σκέψασθαι. Βουλεῦσαι δὲ, τὸ ἐνθυμηθῆναί τι, καὶ συντάξαι κακόν· οἷον βουλεῦσαι φόνον, ἢ ἱεροσυλίαν.

Βούλεσθαι μὲν ἐπὶ μόνου λεκτέον τοῦ λογικοῦ· τὸ δὲ Θέλειν, καὶ ἐπὶ ἀλόγου ζώου.

Βλύειν καὶ Βρύειν διαφέρει. Βρύειν μὲν γὰρ, ἐπὶ τοῦ ἀνθεῖν. Βλύειν δὲ ἐπὶ τοῦ ἀναβάλλειν.

Βρύκειν καὶ Βρύχειν διαφέρει. Βρύκειν μὲν γὰρ διὰ τοῦ κ, τοῖς ὀδοῦσι. Βρύχειν δὲ διὰ τοῦ χ, ἐπὶ λέοντος τὸ βρύχεσθαι.

Βωμὸς, Ἑστία, Ἐσχάρα καὶ Μέγαρον διαφέρουσι. καθὰ καὶ Ἀμμώνιος ὁ Λαμπτριεὺς ἐν πρώτῳ περὶ θυσιῶν. φησὶ γὰρ, Βωμοὶ μὲν γὰρ, οἱ τὰς προβάσεις ἔχοντες. Ἐσχάρα δὲ, ἡ πρὸς τὴν βιωτικὴν γινομένη, ἐπὶ τῆς τάδε πολυεστία. τὸ δὲ Μέγαρον, ἡ περιῳκοδομημένη Ἑστία, ἔνθα τὰ μυστικὰ τῆς Δήμητρος. παρὰ δ' Ὁμήρῳ ἡ Ἐσχάρα, ἡ αὐτὴ καὶ Ἑστία καλεῖται. ὁ δὲ Βωμὸς καὶ τὴν βάσιν σημαίνει.

Χρύσειοι δ' ἄρα κοῦροι ἐϋδμήτων ἐπὶ βωμῶν.

ἀντὶ τοῦ ἐπὶ βάσεων. καὶ ἡ Ἑστία σημαίνει τὸν οἶκον.

Ἑστίη τ' Ὀδυσῆος ἀμύμονος.

καὶ Ἀνέστιος, ὁ ἄοικος παρ' Ἡσιόδῳ. καὶ ἡ σωματοειδὴς θεὸς Ἑστία ἐστίν.

Ἣν καὶ Δήμητραν, καὶ Ἥρην χρυσοπέδιλον.

Ἰδίως δὲ Νεάνθης ὁ Κυζικηνὸς ἐν τρίτῳ τῶν κατὰ πόλιν, βωμοὺς θεῶν φησιν, ἐσχάρας δ' ἡρώων· παρὰ δὲ Εὐριπίδῃ Ἐσχάρα ἀντὶ τοῦ βωμοῦ κεῖται ἐν Πλεισθένει,

Μηλοσφαγεῖτε δαιμόνων ἐπ' ἐσχάραις.

καὶ Σοφοκλῆς ἐν Χρύσῃ.

Γ.

Γαμήλιος καὶ Ἐπιθαλάμιος διαφέρει. Ἐπιθαλάμιος μὲν γάρ ἐστι τὸ ἐπὶ τῷ θαλάμῳ τῆς γαμουμένης γραφὲν ποίημα· ὁ δὲ Γαμήλιος οὐ περιώρισται χρόνῳ. τάττοιτο δ' ἂν καὶ κατὰ τῆς δωρεᾶς ἐν γάμῳ διδομένης.

Γεγενῆσθαι ἐροῦμεν τὸ ὡσανεὶ γεγεννημένον. Γεγονέναι δὲ, τὸ ἄψυχον πρᾶγμα.

Γενέθλια καὶ Γενέσια διαφέρει. ὅτι μὲν γὰρ Γενέθλια τάσσεται ἐπὶ τῶν ζώντων, καὶ ἐν ᾗ ἕκαστος ἡμέρᾳ ἐγεννήθη, αὕτη καλεῖται Γενέθλιος ἡμέρα. Γενέσια δὲ ἐπὶ τῶν τεθνηκότων, ἐν ᾗ ἕκαστος ἡμέρᾳ τετελεύτηκε. ὁ οὖν λέγων ἐπὶ τῶν ζώντων Γενέσια, ἀκυρολογεῖ.

Γέρων καὶ Πρεσβύτης καὶ Προβεβηκὼς διαφέρει. Ἀλεξίων δηλοῖ ἐν τῇ ἐπιτομῇ τῶν Διδύμου συμμίκτων, λέγων οὕτως, ἐκ τῶν Ἀρίστωνος περὶ ἀνθρώπου γενέσεως καὶ αὐξήσεως ἄχρι γήρως· Βρέφος μὲν γάρ ἐστι τὸ γεννηθὲν εὐθέως· Παιδίον δὲ, τὸ τρεφόμενον ὑπὸ τιθηνοῦ. Παιδάριον δὲ, τὸ ἤδη περιπατοῦν, καὶ τῆς λέξεως ἀντεχόμενον. Παιδίσκος δ', ὁ ἐν τῇ ἐχομένῃ ἡλικίᾳ. Παῖς δ' ὁ διὰ τῶν ἐγκυκλίων μαθημάτων δυνάμενος ἰέναι· τὴν δ' ἐχομένην ταύτης ἡλικίαν, οἱ μὲν Πάλληκα, οἱ δὲ Βούπαιδα, οἱ δ' Ἀντίπαιδα, οἱ δὲ Μελλοέφηβον καλοῦσιν. ὁ δὲ μετὰ ταῦτα, Ἔφηβος· ἐν δὲ Κυρήνῃ τοὺς Ἐφήβους Τριακατίους καλοῦσιν· ἐν Κρήτῃ Ἀποδρόμους, διὰ τὸ μηδέπω τῶν κοινῶν δρόμων μετέχειν· ὁ δὲ μετὰ ταῦτα, Μειράκιον, εἶτα Μεῖραξ, εἶτα Νεανίσκος, εἶτα Νεανίας, εἶτα Ἀνὴρ μέσος, εἶτα Προβεβηκὼς, (ὃν καὶ Ὠμογέροντα καλοῦσιν) εἶτα Γέρων, εἶτα Πρεσβύτης, εἶτα Ἐσχατόγηρως.

Γελοῖον καὶ Εὐτράπελον διαφέρει. Γελοῖον μὲν γάρ ἐστι τὸ ἐπὶ διαχύσει τῶν ἀκροατῶν χωρίς τινος ὕβρεως· Εὐτράπελον δὲ, τὸ μετὰ σεμνότητος χαριέντως λεγόμενον. εἴρηται δὲ παρὰ τὸ εὖ τρέπεσθαι τὸν λόγον.

Γέλοιος καὶ Γελοῖος διαφέρει. Γέλοιος μὲν, ὁ καταγέλαστος. Γελοῖος δὲ, ὁ γελωτοποιός.

Γῆμαι τοῦ Γήμασθαι διαφέρει. ὅτι Γαμεῖ μὲν ὁ ἀνήρ. Γαμεῖται δὲ ἡ γυνή. καὶ Ὅμηρος τὴν διαφορὰν τετήρηκεν αὐτῶν, ἐπὶ τοῦ Γήμασθαι εἰπών·

Γημαμένη ᾧ υἱῷ· ὁ δ' ὃν πατέρ' ἐξεναρίξας,
Γῆμε·

καὶ Ἀνακρέων διασύρων τινὰ ἐπὶ θηλύτητι,

Καὶ θαλάμοις ἐν ᾧ κεῖνος
Οὐκ ἔγημεν, ἀλλ' ἐγήματο.

καὶ Αἰσχύλος ἐν Ἀμυμώνῃ,

Σοὶ μὲν γαμεῖσθαι μόρσιμον, γαμεῖν δὲ μή.

Γῆρας μέν ἐστιν ἡ τελευταία ἡλικία· Γήρασις δὲ, ἡ ἐπ' αὐτὴν πόρευσις· μήποτε οὖν ταύτῃ καὶ γηρᾷν τοῦ γηράσκειν διαφέρει.

Γράμμα Στοιχείου διαφέρει. Στοιχεῖον μὲν γάρ ἐστιν ἡ ἐκφώνησις, καὶ ὁ φθόγγος· οὗ τὸ Γράμμα ἐστὶ σημεῖον ἢ τύπος, ἢ σχῆμα. ὡς ἐν τῷ Δ. Ο. τρίγωνον μὲν γάρ ἐστι τὸ Δ. στρογγύλον δὲ τὸ Ο, τὸ δὲ στοιχεῖον, τὸ ὁλόκληρον, οἷον, Α. Β. καὶ τὰ λοιπά. τὰ δὲ στοιχεῖα καταχρηστικῶς γράμματα. καὶ τὰ συγγράμματα ἐκάλουν οἱ παλαιοὶ, γράμματα. Καλλίμαχός πού φησι,

Γράμματα δ' οὐχ εἵλισσαν ἀπόκρυφα.

τοῦτ' ἔστι τὰ συγγράμματα. καὶ πάλιν,

————Πλάτωνος
Ἓν τὸ περὶ ψυχῆς γράμμ' ἀναλεξάμενος.

καὶ ἐν τῇ συνηθείᾳ πολλὰ φαμὲν εἰδέναι γράμματα τόνδε. οὐ γὰρ τὰ εἴκοσι τέσσαρα, ἀλλὰ τὸ τῶν πολλῶν ἔμπειρον γραμμάτων.

Γυμνασθῆναι καὶ Γυμνᾶσθαι διαφέρει. Γυμνασθῆναι μὲν γάρ ἐστι τὸ ὑφ' ἑτέρου. Γυμνᾶσθαι δὲ, τὸ ὑφ' ἑαυτοῦ.

Γυμνασία μὲν λέγεται ἡ τῶν γεγυμνασμένων ἄσκησις. Ἄσκησις δὲ, ἡ τῶν λεγόντων καὶ σκηνικῶν.

Δ.

Δαμάλης καὶ Δάμαλις διαφέρει. Δαμάλης μὲν γὰρ, ὁ ἄῤῥην μόσχος. Δάμαλις δὲ, ἡ θήλεια. Μόσχος δὲ, κοινῶς ἐπ' ἀμφοτέρων.

Δαὶ σύνδεσμος ἐρωτηματικὸς, ἐκτεταμένως,

——— τίς δαὶ ὅμιλος,

καὶ,

Πῶς δαὶ τῶν ἄλλων Τρώων.

ὁ δὲ συμπλεκτικὸς Δὲ, συνεσταλμένως.

Δεσϖότης καὶ Κύριος διαφέρει. Δεσϖότης μὲν γὰρ, ὁ τῶν ἀργυρωνήτων, καὶ κύριος. Κύριος δὲ, καὶ ϖατὴρ υἱοῦ, καὶ αὐτός τις ἑαυτοῦ.

Δέος καὶ Φόβος διαφέρει. Δέος μὲν γάρ ἐστι πολυχρόνιος κακοῦ ὑπόνοια· Φόβος δὲ, ἡ ϖαραυτίκα ϖτόησις. διόϖερ Ἡρόδοτος ἐν τῇ τετάρτῃ, Ἡμέας ἔχει φόβος τε καὶ δέος.

Δήμιος καὶ Δημόκοινος διαφέρει. Δήμιος μὲν γάρ ἐστιν ὁ ἀναιρῶν τοὺς καταδίκους. Δημόκοινος δὲ, ὁ βασανίζων.

Δήμητερ καὶ Δάματερ διαφέρει παρὰ τοῖς Ἀττικοῖς, φησὶ Τρύφων. Δήμητερ γὰρ, φησὶν, ἐστὶν ἐπὶ τῆς θεοῦ· Δάματερ δὲ, ἐπὶ θαυμασμοῦ.

Δῆμος καὶ Δημὸς διαφέρει. Δῆμος μὲν βαρυτόνως, τὸ ϖλῆθος τῆς πόλεως. Δημὸς δὲ ὀξυτόνως, τὸ λίπος.

Δίσκος καὶ Σόλος διαφέρει. Δίσκος μὲν γάρ ἐστι λίθος τετρημένος, ὥς φησι Τρύφων ἐν ϖέμϖτῳ περὶ ἑλληνισμοῦ. Σόλος δὲ, τὸ χαλκοῦν ὁλοσφύριον. Ὅμηρος,

——— σόλον αὐτοχόωνον,

καὶ ἐν ἄλλοις,

—— λάβε δίσκον.

εἶτ' ἐπιφέρει,

Βόμβησεν δὲ λίθος.

καὶ Πίνδαρος,

Λιθίνοις ποτ' ἀνὰ δίσκοισι.

Δικαστὴς καὶ Διαιτητὴς διαφέρει. Δικαστὴς μὲν γάρ ἐστιν ὁ κατὰ νόμον αἱρεθεὶς κριτής. Διαιτητὴς δὲ, ὁ κατὰ συμφωνίαν αἱρεθεὶς, συμβιβάσεως χάριν. Μένανδρος ἐν Παιδίῳ,

Εἴ τις δικαστὴς, ἢ διαιτητὴς θεῶν.

Διέφθαρται καὶ Διέφθορε διαφέρουσι. Διέφθαρται μὲν γὰρ ὑφ' ἑτέρου, Διέφθορε δ' ἕτερον. Ἀριστοφάνης Κόραις,

Διέφθορας τὸν ὅρκον ἡμῶν.

Μένανδρος Ἀδελφοῖς,

Εἰ δ' ἔστι τὴν κόρην διεφθορώς.

Ὅμηρος,

—— φρένας ἠλεὲ διέφθορας,

διεφθάρης τὰς σαυτοῦ φρένας.

Διαβόητος καὶ Ἐπιβόητος διαφέρει. Διαβόητος μὲν γάρ ἐστιν ὁ ἐπ' ἀρετῇ ἐγνωσμένος. Ἐπιβόητος δ', ὁ μοχθηρὰν ἔχων φήμην. Ἀνακρέων ἐν δευτέρῳ,

———— καί μ' ἐπίβωτον

Κατὰ γείτονας ποιήσεις.

τοῦτον δ' ἔνιοι τῶν ποιητῶν ἐπίσφατον καλοῦσιν.

Διαβόητος Περιβοήτου διαφέρει. Διαβόητος μὲν γάρ ἐστιν ὁ ἐπ' ἀρετῇ πολυθρύλλητος· Περιβόητος δὲ, ὁ ἐπὶ κακίᾳ. καὶ Περιβόητον ϖᾶσιν ἀνθρώποις αὐτὸν παραδίδωσιν ὁ ἀκρατής· καὶ τοῦτο δὴ τὸ λεγόμενον.

Ἥττων ἑαυτοῦ πορνιδίῳ τρισαθλίῳ

Ἑαυτὸν οὕτω παραδέδωκεν.

Διπλοῦν καὶ Διπλάσιον διαφέρει. Διπλοῦν μὲν γάρ ἐστι κατὰ μέγεθος. Διπλάσιον δὲ, κατὰ ἀριθμόν. ὡς διπλάσιον καὶ τετραπλάσιον. οἷον διπλάσια χρήματα ἔχει. ἐϖὶ δὲ τῶν διπλουμένων τὸ διϖλοῦν. ὥσϖερ ἐπὶ τῶν ϖτυσσομένων ἱματίων, διϖλοῦν τὸ ἱμάτιον, οὐκέτι διπλάσιον.

Διχότομος καὶ Διχοτόμος διαφέρει. Διχότομος μὲν, ὁ εἰς δύο διῃρημένος· Διχοτόμος δὲ, ὁ εἰς δύο διαιρῶν.

Διήγησις καὶ Διήγημα διαφέρει. Διήγησις μὲν γὰρ καὶ ποίησίς ἐστιν ἡ ἐν μήκει τὸ τέλειον ἔχουσα· Διήγημα δὲ, καὶ ϖοίημα τὸ βραχύτερον.

Διδάξω καὶ Διδάξομαι διαφέρει. Διδάξω μὲν γὰρ, δι' ἑαυτοῦ. Διδάξομαι δὲ, δι' ἑτέρου. ὡς Οἰκοδομήσειν μὲν δι' ἑαυτοῦ. Οἰκοδομήσασθαι δὲ, δι' ἑτέρου.

Διφθέρα καὶ Μηλωτὴ διαφέρει. Διφθέρα μὲν γὰρ, αἰγῶν· Μηλωτὴ δὲ, προβάτων.

Διορθοῦν καὶ Ἐπανορθοῦν διαφέρει. Διορθοῦν μὲν γὰρ, καὶ ἐϖὶ δοράτων, καὶ ἐπὶ ὀβελίσκων, καὶ ἐπὶ λόγων. Ἐϖανορθοῦν δὲ, ἐϖὶ μόνων λόγων.

Διαπολιτεύεσθαι καὶ Ἀντιπολιτεύεσθαι διαφέρει. Διαϖολιτεύεσθαι μὲν γὰρ, λέγουσι τοὺς ἐκ τῆς αὐτῆς πόλεως· Ἀντιπολιτεύεσθαι δὲ, τοὺς ἐξ ἑτέρας δι' ἑτέρας ἀντιδιαστατοῦντας ἀλλήλοις. Θεόπομπος δὲ, καὶ τοὺς ἐν μιᾷ πόλει φιλοτιμουμένους πρὸς ἀλλήλους, Ἀντιπολιτεύεσθαι ἔφη.

Διδάσκαλος καὶ Ἐϖιστάτης διαφέρει. Διδάσκαλος μὲν γάρ ἐστι λόγων. Ἐπιστάτης δ' ἔργων.

Διαλέγεται μὲν ὁ διδοὺς λόγον καὶ λαμβάνων. Λαλεῖ δὲ, ὁ μὴ σπουδαιολογούμενος. Λέγει δὲ καὶ ὁ κατὰ διέξοδον ἐϖεξιὼν πρᾶγμα· Φάσκει δὲ ὁ βραχυλόγος.

Δίκη, ἥ τε κρίσις, καὶ ἡ τιμωρία, καὶ τὸ δίκαιον.

Δοάσσατο τοῦ Διάσσατο διαφέρει. τὸ μὲν γὰρ Δοάσσατο, σημαίνει τὸ ἔδοξε· τὸ δὲ Διάσσατο, ἀντὶ τοῦ ἐδίστασε.

Δοῦλοι καὶ Οἰκέται διαφέρουσι. Δοῦλοι μὲν γάρ εἰσι καὶ οἱ τῶν ἡδονῶν, καὶ πάντες οἱ ὑποτεταγμένοι ὑπὸ βασιλέα. Οἰκέται δὲ, δεσποτῶν.

Δόξα καὶ Κλέος διαφέρει. Δόξα μέν ἐστιν ὁ παρὰ τῶν ϖολλῶν ἔπαινος. Κλέος δὲ, ὁ παρὰ τῶν σπουδαίων.

Δύναμις καὶ Ἰσχὺς διαφέρει, ὥς φησι Πλάτων ἐν Πρωταγόρᾳ. οὐ γὰρ ταυτόν ἐστι δύναμίς τε καὶ ἰσχύς. ἡ μὲν γὰρ Δύναμις καὶ ἀπὸ ἐπιστήμης γίνεται καὶ μανίας καὶ θυμοῦ· ἡ δὲ Ἰσχὺς ἀπὸ φύσεως καὶ εὐτροφίας τῶν σωμάτων.

Δυσπειθὴς καὶ Ἀπειθὴς διαφέρει. Δυσϖειθὴς γάρ ἐστιν, ὃς δυσχερῶς παραδέχεται τὸν πιστὸν λόγον· Ἀϖειθὴς δὲ, ὃς ἀποκρούεται, καὶ οὐχ οἷός τέ ἐστι πείθεσθαι.

Δῶμα καὶ Δωμάτιον διαφέρει. Δῶμα μὲν γὰρ, κοινῶς τὸ οἰκοδόμημα· Δωμάτιον δὲ, θάλαμος.

Δωροδοκία, ἥ τε δόσις τῶν δώρων καὶ ἡ λῆψις.

Ε.

Ἐγχρίσαι καὶ Ἐναλεῖψαι διαφέρει. Ἐγχρίσαι μὲν γὰρ, ἐϖὶ σκορπίου ἢ σφηκῶν, ἤ τινος τοιούτου λέγουσιν· Ἐναλεῖψαι δὲ, ἐπὶ ὀφθαλμῶν.

Ἐγγυᾷ καὶ Ἐγγυᾶται διαφέρει. Ἐγγυᾷ μὲν γὰρ ὁ διδούς· Ἐγγυᾶται δ' ὁ λαμβάνων.

Ἐδίδαξε καὶ Ἐδιδάξατο διαφέρει. Ἐδίδαξε μὲν γὰρ ὁ καθηγητής. Ἐδιδάξατο δ' ὁ πατὴρ συστήσας. Ἀριστοφάνης ἐν Νεφέλαις,

Ἐδιδαξάμην μέν τοι νὴ Δί' ὦ μέλεε.

Εἰκὼν καὶ Προτομὴ διαφέρει. Εἰκὼν μὲν γάρ ἐστιν ἐπ' ἀνθρώπου· Προτομὴ δὲ, λέοντος, καὶ ἵππου, καὶ τῶν ἄλλων.

Ἐκκλησία καὶ Κατάκλησις διαφέρει. Ἐκκλησίαν μὲν γὰρ ἔλεγον οἱ Ἀθηναῖοι τὴν σύνοδον τῶν κατὰ τὴν πόλιν· Κατάκλησιν δὲ, ὁϖότε καὶ τοὺς ἐκ τῶν ἀγρῶν συνεκάλουν, ϖρὸς ἐπίσκεψιν μείζονα τῶν πραγμάτων.

Ἐκεῖ καὶ Ἐκεῖσε διαφέρει. τὸ μὲν γὰρ Ἐκεῖ δηλοῖ τὸ ἐν τόπῳ· τὸ δε Ἐκεῖσε, εἰς τόπον. οὕτως ἐροῦμεν, Ἐκεῖ κατέλαβον αὐτὸν, καὶ Ἐκεῖσε πορεύσομαι.

Ἐκπολεμῶσαι καὶ Ἐκπολεμῆσαι διαφέρουσιν. Ἐκπολεμῶσαι μὲν γάρ ἐστι τὸ εἰς πόλεμον ἐμβαλεῖν. Ἐκπολεμῆσαι δὲ, τὸ πόλιν ἐξελεῖν.

Ἔκγονος καὶ Ἀπόγονος διαφέρει. Ἔκγονος μὲν γάρ ἐστιν ὁ υἱός. φησὶ γὰρ Ὅμηρος,

———— εἰ ἐτεόν γε

Κείνου ἔκγονός ἐσσι, σέβας μ' ἔχει εἰσορόωντα.

καὶ δι' ὅλης τῆς ποιήσεως τετήρηκεν· Ἀπόγονος δ' ὁ ἤτοι υἱωνεὺς, ἢ ἔτι ἄποθεν. καταχρῶνται δ' ἔσθ' ὅτε οἱ ἱστορικοὶ τῷ ἀπογόνῳ ἀντὶ υἱοῦ.

Ἐκμαρτυρία Μαρτυρίας ἔν τινι διαφέρει. δηλοῖ Δείναρχος ἐν τῷ κατὰ Κλεομέδοντος, λέγων, Ἀναγνώσεται δὲ τῶν μὲν ἐπιδημούντων τὰς μαρτυρίας, τῶν δὲ ἀποδημούντων ἐκμαρτυρίας.

Ἕλκος Ὠτειλῆς διαφέρει. Ἕλκος μὲν γάρ ἐστι χρόνιον πάθος μόνον, ἐκ σιδήρου γινόμενον· ἔστι δ' ὅτε καὶ ἐξ αὐτομάτου. εἴρηται δὲ παρὰ τὸ διελκύσθαι τὴν σάρκα. Ὠτειλὴ δ' ἐστιν ἡ ἐκ τοῦ σύνεγγυς ὑπὸ σιδήρου πληγή.

Ἐλέατρος καὶ Ἐδέατρος διαφέρει. Ἐλέατρος μὲν γάρ ἐστιν ὁ μάγειρος, παρὰ τοὺς ἐλεούς. τράπεζαι δ' εἰσὶ μαγειρικαί. Ὅμηρος,

——— καὶ εἰν ἐλεοῖσιν ἔχευαν.

Ἐδέατρος δὲ, ὁ προγεύστης παρὰ τὰ ἐδέσματα.

Ἐμβάδες καὶ Ἔμβατα διαφέρει. Ἐμβάδες μὲν γὰρ, τὰ κωμικὰ ὑποδήματα· Ἔμβατα δὲ, τὰ τραγικά.

Ἐμεῖο καὶ Ἐμοῖο διαφέρει. Ἐμεῖο μὲν γάρ ἐστιν ἀσύναρθρον, ὡς Ὅμηρος,

——— ἐμεῖο δὲ σύνθεο μῦθον.

τὸ δὲ Ἐμοῖο σύναρθρον. τοῦ ἐμοῖο παιδός. καὶ,

Μνῆσαι πατρὸς σοῖο θεοῖς ἐπιείκελ' Ἀχιλλεῦ.

ἀντὶ τοῦ πατρὸς σοῦ.

Ἐμπειρία Πείρας διαφέρει. Πεῖρα μὲν γὰρ ἐφ' ἑνὸς ἢ δευτέρου γνῶσίς ἐστι δοκιμαζομένη. Ἐμπειρία δὲ ἡ ἐϖὶ ϖολλῶν κατάληψις βεβαία. ϖάλιν δὲ Τέχνη Ἐμϖειρίας διαφέρει· ὅτι ἡ μὲν ἐν τοῖς κανόσιν. ἡ γραμματικὴ δὲ τέχνη ἀδιάπτωτος, ὡς καὶ ἡ ἐϖιστήμη.

Ἔνδον καὶ Ἔσω διαφέρει. Ἔνδον μὲν γὰρ, τὸ ἐν τόπῳ σημαίνει. Ἔσω δὲ, τὸ εἰς τόπον. Ἔνδον μὲν γάρ ἐστιν ὁ παῖς. Ἔσω δὲ εἰσέρχομαι. ἁμαρτάνει οὖν ὁ λέγων, Ἔνδον εἰσέρχομαι, ἢ Ἔσω ἐστὶν ὁ παῖς. Σοφοκλῆς τὴν διαφορὰν συγχεῖ. φησὶ γὰρ ἐν Τραχινίαις,

Γυναῖκες αἵ τε ἔσω στέγης, αἵ τε ἐκτός.

δέον εἰπεῖν, γυναῖκες αἵ τε ἔνδον. καὶ Εὐριπίδης ἐν Ἡρακλείδῃ.

Καὶ τὸν γέροντα, τήν τ' ἔσω γραῖαν δόμων.

ἀντὶ τοῦ ἔνδον. Εὔβουλος ὁ τῆς μέσης κωμῳδίας ποιητὴς ἐν Καλαθηφόροις,

Ὅπως δὲ σπεύσεθ' ὅτι τὶς γέρων ἔσω.

δέον εἰπεῖν, ἔνδον.

Ἐνταυθοῖ καὶ Ἐνταῦθα καὶ Ἐνθάδε διαφέρει. Ἐνταυθοῖ μὲν γὰρ, τὴν ἐν τόπῳ σημασίαν δηλοῖ· Ἐνταῦθα δὲ, καὶ τὴν ἐν τόπῳ, καὶ τὴν εἰς τόπον. ὁμοίως καὶ τὸ Ἐνθάδε. τὸ δ' Ἐνταῦθα, καὶ Ἐνθάδε, καὶ τὴν ἐν τόπῳ, καὶ τὴν εἰς τόπον, καὶ ἀντὶ χρονικοῦ ἐπιῤῥήματος τοῦ τότε. ἐπὶ μὲν οὖν ἐνταυθοῖ,

Ἐνταυθοῖ νῦν ἧσο κύνας ἀπερύκων.

ἐπὶ δὲ τοῦ Ἐνταῦθα, Σοφοκλῆς ἐν Ἠλέκτρᾳ,

Ἐνταῦθα πέμψειν, ἔνθα μήποθ' ἡλίου

Φέγγος καθορῇ.

ἔχει γὰρ καὶ τὴν εἰς τόπον σημασίαν, καὶ τὴν ἐν τόπῳ. ὁμοίως καὶ ἐπὶ τοῦ Ἐνθάδε φησὶν ἡ Καλυψὼ,

Ἐνθάδε αὖθι μένων σὺν ἐμοὶ, τόδε δῶμα φυλάσσοις.

καὶ Ἕκτωρ φησὶ,

——— σὲ δέ τ' ἐνθάδε γῦπες ἔδονται.

ταῦτα γὰρ τὴν ἐν τόπῳ σημασίαν δηλοῖ. Τὰ δ' εἰς τόϖον οὕτως,

—— τῆς δ' αὐτοῦ λύτο γούνατα καὶ φίλον ἦτορ,

Τοῦ δ' αὐτοῦ λυκάβαντος ἐλεύσεται ἐνθάδ' Ὀδυσσεύς.

ἐπὶ τοῦ Ἔνθα ἐν τόπῳ,

Ἔνθα μὲν Αἴας κεῖται ἀρήϊος, ἔνθα δ' Ἀχιλλεύς.

εἰς τόπον,

Ἔνθα κατεπλέομεν, καί τις θεὸς ἡγεμόνευεν.

ἀντὶ χρονικοῦ ἐπιῤῥήματος τοῦ τότε,

Ἔνθ' αὖ Τυδείδῃ Διομήδεϊ Παλλὰς Ἀθήνη.

Ἐνθύμημα καὶ Ἐνθύμιον διαφέρει. Ἐνθύμημα μὲν γάρ ἐστι ποιοῦ λόγου σχῆμα· τὸ δ' Ἐνθύμιον ἐτίθετο ἐϖὶ τοῦ προστροπαίου παρ' Ἀττικοῖς. ὁ γοῦν Ἀντιφῶν ἐν τοῖς φονικοῖς φησὶ, Τεθνεὼς οὗτος ὑμῖν ἐνθύμιος γενήσεται.

Ἔνδοξος καὶ Ἐπίδοξος διαφέρει. Ἔνδοξος μὲν γάρ ἐστιν ὁ ἐπίσημος. Ἐϖίδοξος δὲ, ὁ προσδοκώμενος, καὶ ἐλπιζόμενος.

Ἕνεκα καὶ Χάριν διαφέρει. ὁ μὲν γὰρ Ἕνεκα, ψιλὴν τὴν αἰτίαν δηλοῖ. οἷον, Ἕνεκα Ἀλεξάνδρου, καὶ ἕνεκα Ἑλένης ἐστράτευσε Μενέλαος. ὁ δὲ Χάριν, μετὰ τῆς αἰτίας δηλοῖ καὶ τὴν χάριν. Χάριν Μενελάου Ἀχιλλεὺς ἐστράτευσε. τουτέστι, Μενελάῳ χαριζόμενος.

Ἐννοεῖν καὶ Ἐννοεῖσθαι διαφέρει. Ἐννοεῖν μὲν γὰρ ἄφνω μὴ ἐπιστήσας· Ἐννοεῖσθαι δὲ, ἀπὸ μακρὰν διαλογιζόμενος.

Ἐξόσου καὶ Ἐξότου διαφέρει. Ἐξόσου μὲν γὰρ, χρόνου. Ἐξότου δὲ, τὸ ἐξ οὗ τινος.

Ἐξανέψιοι καὶ Ἐξανεψιοὶ διαφέρει. καὶ βαρυτόνως ϖροφέρονται τοὔνομα· φησὶ γὰρ Τρύφων ἐν δευτέρῳ ϖερὶ Ἀττικῆς προσῳδίας, Ἐξανέψιοι, ὡς ἀμέριμνοι, ἀναστελλομένης τῆς ὀξείας ἐκ τοῦ Ἀνεψιοὶ, ὀνόματος ὀξυνομένου. εἰσὶ δὲ οἱ μὲν Ἀνεψιοὶ, τῶν ἀδελφῶν παῖδες, καθὰ καὶ ἡμεῖς ἐκδεχόμεθα· Ἐξανέψιοι δὲ, οἱ τῶν ἀνεψιῶν παῖδες.

Ἐοικότα Εἰκότων διαφέρει. τὰ μὲν γὰρ, ϖίστεως ἐχόμενα· τὰ δ' ἐμφερῆ, Ἐοικότα.

Ἐπικήδιος καὶ Θρῆνος διαφέρουσι. Ἐπικήδιον μὲν γάρ ἐστι, τὸ ἐπὶ τῷ κήδει. Θρῆνος δὲ, τὸ ἐν ᾠδῇ. οὕτω Τρύφων. Ἀριστοκλῆς δὲ ὁ Ῥόδιος ἐν τῷ περὶ ποιητικῆς τοὔμπαλιν. φησὶ γὰρ, Θρῆνος δ' ἐστὶν ᾠδὴ τῆς συμφορᾶς οἰκεῖον ὄνομα ἔχουσα· ὀδυρμὸν ἔχει σὺν ἐγκωμίῳ τοῦ τελευτήσαντος· τινὲς μὲν οὖν κοινῶς πάντα εἶπον Θρήνους· οἱ δὲ διαφέρειν θρῆνόν τε καὶ Ἐπικήδιον· τῷ τὸν Θρηνὸν ᾄδεσθαι ϖαρ' αὐτῇ τῇ συμφορᾷ πρὸ τῆς ταφῆς, καὶ μετὰ τὴν ταφὴν, καὶ κατὰ τὸν ἐνιαύσιον χρόνον τῆς κηδείας, ᾀδόμενον ὑπὸ τῶν θεραπαινίδων, καὶ τῶν σὺν αὐταῖς. τὸ δ' Ἐπικήδιον, ἔπαινόν τινα τοῦ τελευτήσαντος μετά τινος μετρίου σχετλιασμοῦ.

Ἐπιστρεφὴς Εὐστραφοῦς διαφέρει. Ἐπιστρεφὴς, ὁ ϖροστακτικὸς καὶ ἐπιμελής. Εὐστραφὴς δ' ὁ ἐϖιδέξιος ἐν ταῖς μεταβολαῖς.

Ἐπίκουροι καὶ Σύμμαχοι διαφέρουσιν. Ἐπίκουροι μὲν γάρ εἰσιν οἱ τοῖς ϖολεμουμένοις βοηθοῦντες καὶ συλλαμβανόμενοι. Σύμμαχοι δὲ, οἱ τῶν πολεμούντων. Ὅμηρος δι' ὅλης ἐφύλαξε τῆς ποιήσεως τὴν διαφοράν. οὐκ ἔστιν οὖν ϖαρ' αὐτῷ ἐϖίκουρος Ἑλλήνων λεγόμενος, ἀλλὰ Τρώων.

Ἐπιστεῖλαι καὶ Ἐπισκῆψαι διαφέρουσιν. Ἐπιστεῖλαι μὲν, διὰ γραμμάτων. Ἐπισκῆψαι δὲ, διὰ λόγων.

Ἐπαγγέλλει καὶ Ἐπαγγέλλεται διαφέρει. Ἐπαγγέλλει μὲν, τὸ προστάσσει· Ἐϖαγγέλλεται δὲ, τὸ ὑπισχνεῖται. Ὑπισχνεῖται δὲ, ὁ τῷ αἰτήσαντι δώσειν ὁμολογήσας. Ἐπαγγέλλεται δὲ, ὁ ἀφ' ἑαυτοῦ δώσειν ὁμολογήσας.

Ἐπιτίμιον καὶ Ἐπίτιμον διαφέρει. Ἐπιτίμιον μὲν γὰρ, ἡ ζημία. Ἐπίτιμον δὲ, τὸ τῆς τιμῆς μετέχον. ὥστε οὐ δεῖ λέγειν, Ἐξέτισε τὸ ἐπίτιμον, ἀλλ' Ἐξέτισε τὸ ἐπιτίμιον.

Ἐϖικηρύξαι καὶ Ἐπικηρυκεύσασθαι διαφέρει. Ἐϖικηρύξαι μὲν γὰρ ἔλεγον τὸ ὑποσχέσθαι χρήματα δώσειν τῷ συλλαβόντι, καὶ ἀναγόντι, ἢ ἀποκτείναντί τινα τῶν καταδικασθέντων. οἱ Ἀθηναῖοι ἐπεκήρυξαν, εἰ μέν τις ζῶντα ἀνάγοιτο Διαγόραν, τὸν Μήλιον, δώσειν τάλαντον, εἰ δ' ἀνέλοι, τὸ ἥμισυ. Ἐπικηρυκεύσασθαι δὲ ἔλεγον, τὸ περὶ συμβιβάσεως καὶ σπονδῶν τὰς πόλεις κήρυκας πρὸς ἀλλήλας διαπέμψασθαι.

Ἐπίτιμος καὶ Ἐϖιτίμιος διαφέρει. Ἐπίτιμος μὲν γὰρ, ἔντιμος. Ἐπιτίμιος δὲ, ὁ ἐπιζήμιος, καὶ ἐπίπληκτος. ἀφ' οὗ τὴν ἐπίπληξιν Ἐπιτίμιον φαμέν. καὶ, Ἐπιτίμησον αὐτὸν, ἀντὶ τοῦ ἐπίπληξον.

Ἐπιχαίρειν καὶ Συγχαίρειν διαφέρει. Ἐπιχαίρειν μὲν γάρ ἐστι, τὸ συνεπιγελᾶν τοῖς ἀλλοτρίοις κακοῖς· Συγχαίρειν δὲ, τὸ συνήδεσθαι τινὸς ἀγαθοῖς.

Ἐϖιδοτικὸς μέν ἐστιν, ὁ δεομένοις ἐπιδιδούς· Μεταδοτικὸς δὲ, ὁ φίλοις.

Ἐρωτᾶν τοῦ Πυνθάνεσθαι διαφέρει. Πυνθάνεσθαι μὲν γάρ ἐστι, τὸ κατ' ἀκοὴν διεξοδικῶς ἀκούειν τὰ ὑπό τινος λεγόμενα, αὐτὸν οὐδ' ἐρωτῶντα· Ἐρωτᾶν δὲ, τὸ ἐθέλειν τινὰ κεφαλαιώδη λαβεῖν ἀπόφασιν ϖερὶ τοῦ ὑποκειμένου πράγματος. ὁ γοῦν Τηλέμαχος φησὶ πρὸς Νέστορα,

Εἴρεαι ὁππόθεν εἰμὲν, ἐγὼ δέ κέ τοι καταλέξω.

καὶ Ἀχιλλεύς φησιν,

Ἀλλ' ἴθι νῦν Πάτροκλε Διῒ φίλε, Νέστορ' ἔροιο,

Ὅντινα τοῦτον ἄγει·

ὅτι δὲ τὸ Πυνθάνεσθαι ἐπὶ ψιλοῦ τοῦ ἀκούειν τάσσεται, φανερὸν ἐκ τοῦ λέγειν Τηλέμαχον.

Νῦν δ' ὅτε δὴ μέγας εἰμὶ, καὶ ἄλλων μῦθον ἀκούων,

Πυνθάνομαι, καὶ δή μοι ἀέξεται ἔνδοθι θυμός.

καὶ Ὀδυσσεύς φησι·

Πυνθανόμην Ἰθάκης καὶ ἐν Κρήτῃ εὐρείῃ.

Κατὰ δὲ τοὺς φιλοσόφους Ἐρώτησίς ἐστι φράσις συμβολικὴν ἀπόκρισιν ζητοῦσα, οἷον νέον, ἀμφίβολον, σαφὲς, ἄδηλον. αὗται γὰρ αἱ ϖέντε ἀποφάσεις, συμβολικαὶ καλοῦνται. ἔστι μέν τοί γε ὅτε οὐχ' οὕτως, ἀλλ' ἑτέρως ἀποκρινόμεθα ϖρὸς τὰς ἐρωτήσεις. οἷον, ἡμέρα ἐστίν. καὶ οὕτως· ἡμέρα ἐστὶν ἡμέρα· καὶ οὕτως, ἡμέρα ἐστίν. Πεῦσις δέ ἐστι λέξις, ϖρὸς ἣν οὐκ ἔστι συμβολικῶς ἀποκρίνεσθαι, οἷον· Ποῦ οἰκεῖ Ἀρίστων; φησὶ γὰρ, ἐν τῷδε τῷ τόπῳ. καὶ, Πῆ ἔβη Ἀνδρομάχη; ἡ δ' ἀποκρίνεται·

Ἀλλ' ἐϖὶ πύργον ἔβη μέγαν Ἰλίου, οὕνεκ' ἄκουσε

Τείρεσθαι Τρῶας. ————

Οὐ γὰρ ἐνεχώρει ἐνταῦθα συμβολικῶς εἰπεῖν, ναὶ ἢ οὔ· κατά τι οὖν περὶ τῆς διαφορᾶς ταύτης φέρονται καὶ οἱ φιλόσοφοι συμφώνως τοῖς ϖροειρημένοις. Ποτάμων ϖερὶ τῆς διαφορᾶς φησιν οὕτως.

Ἐρώτησις Πεύσεως καὶ Ἀνακρίσεως διαφέρει. Ἐρώτησις μὲν γάρ ἐστι σύντομος ἀπόκρισις· Πεῦσις δὲ, μακρᾶς πράξεως ἀπαγγελία. Ἀνάκρισις δὲ, ὑποδεεστέρων ἐξήγησις.

Ἔρως καὶ Πόθος διαφέρουσιν. Ἔρως μὲν γὰρ, τῶν παρόντων. Πόθος δὲ, τῶν ἀπόντων.

Ἐρᾷν καὶ Ποθεῖν διαφέρει. Ἐρᾷν μὲν γάρ ἐστι, τῶν ἐν ὄψει. Ποθεῖν δὲ, τοὺς ἀπόντας. διαστέλλει δὲ καὶ Ὅμηρος·
Ὡς σέο νῦν ἔραμαι, καί με γλυκὺς ἵμερος αἱρεῖ.
πρὸς τὴν Ἥραν φησὶν ὁ Ζεὺς παροῦσαν. ἐπὶ δὲ τοῦ ἀπόντος,
Ἀλλά με σός τε πόθος, σά τε μήδεα, φαίδιμ᾽ Ὀδυσσεῦ,
Σή τ᾽ ἀγανοφροσύνη μελιηδέα θυμὸν ἀπηύρα.
φυλάσσει γὰρ ἄκρως ὁ ποιητὴς τὰς τοιαύτας ἐναλλαγάς.

Ἐρωτᾷν μέν ἐστι, τὸ θέλειν κεφαλαιώδη λαβεῖν ἀπόφασιν, ἢ ναὶ ἢ οὔ. Πυνθάνεσθαι δὲ, τὸ κατὰ διέξοδον ἀξιοῦν πρᾶγμα· οἷον, Πῶς ἐπολεμήσατε;

Ἔρως μέν ἐστιν ἐπιβολὴ φιλοποιίας. Πόθος δ᾽ ἀπόντος. Ἵμερος δ᾽ ἔρως σπανίζων τῆς πρὸς τὸν ἐρώμενον χρείας.

Ἔσται τοῦ Γενήσεται διαφέρει. Ἔσται μὲν γὰρ, τὰ καὶ νῦν ὄντα. Γενήσεται δὲ, τὰ γενέσεως τευξόμενα. οἷον, νέος πρεσβύτης ἔσται· τῷ δ᾽ ἀτέκνῳ παῖδες γενήσονται. Ἄλλως. Ἔσται μὲν γὰρ τὸ ὑποκείμενον οἷον· ὁ παῖς ἔσται ἀνήρ· Γενήσεται δὲ, τὸ ἄριστον.

Ἑστιάτωρ καὶ Δαιτυμὼν διαφέρει. Ἑστιάτωρ μὲν γὰρ, ὁ ὑποδοχεύς· Δαιτυμόνες δὲ, οἱ ἑστιώμενοι.

Ἑσπέρα καὶ Ὀψὲ διαφέρει. Ἑσπέρα μὲν γάρ ἐστι, δυομένου τοῦ ἡλίου. Ὀψὲ δὲ, βραδέως, καὶ μεθ᾽ ὁντινοῦν χρόνον. διὰ τοῦτο καὶ προστιθέασιν, Ὀψὲ τῆς ἡμέρας.

Ἑταῖρος καὶ Φίλος διαφέρουσιν. ὁ μὲν γὰρ Φίλος, καὶ Ἑταῖρος. ὁ δ᾽ Ἑταῖρος, οὐ πάντως φίλος. διὸ καὶ ἐπὶ τοῦ ἀνέμου φησὶν Ὅμηρος.
——— πλησίστιον ἐσθλὸν ἑταῖρον.
καὶ ἄλλως. Φίλοι μὲν κοινῶς λέγονται πάντες οἱ τὰ τῆς φιλίας δίκαια πρὸς ἑαυτοὺς ἔχοντες. Ἑταῖροι δὲ, ἰδίως οἱ καὶ τῇ ἡλικίᾳ παραπλησίως ἔχοντες, καὶ ἐν συνηθείᾳ καὶ ἐν συνεργίᾳ πολὺν χρόνον γεγονότες.

Ἑτερόφθαλμος καὶ Μονόφθαλμος διαφέρουσιν. Ἑτερόφθαλμος μὲν γὰρ, ὁ κατὰ περίπτωσιν πηρωθεὶς τὸν ἕτερον τῶν ὀφθαλμῶν. Μονόφθαλμος δὲ, ὁ μόνον ὀφθαλμὸν ἔχων, ὡς ὁ Κύκλωψ.

Ἕτερος καὶ Ἄλλος διαφέρει. Ἕτερος μὲν ἐπὶ δυοῖν τάσσεται. ὡς Ὅμηρος.
Φολκὸς ἔην, χωλὸς δ᾽ ἕτερον πόδα.
τὸ δὲ Ἄλλος ἐπὶ πολλῶν. ὡς αὐτὸς Ὅμηρος·
——— Διὶ δ᾽ ἡμεῖς οἴσομεν ἄλλον.

Εὐφυὴς καὶ Εὐμαθὴς διαφέρει. Εὐφυὴς μὲν γὰρ λέγεται παρὰ Ἀττικοῖς ὁ σκωπτικός. Εὐμαθὴς δὲ, ὁ εἰς τὸ μαθεῖν ταχύς.

Εὑρεῖν καὶ Εὑρέσθαι διαφέρει. Εὑρεῖν μὲν γὰρ, τὸ καὶ ἐν τῇ συνηθείᾳ. Εὑρέσθαι δὲ, οἱονεὶ τὸ ἐκπορίσασθαι. Μένανδρος Δυσκόλῳ,
Εὑρηκὼς κἀγὼ τούτου τέχνην.
Δίφιλος ἐν Πύῤῥᾳ,
Δῶρον δ᾽ ἐμαυτῇ παρὰ θεῶν εὑρημένον.

Εὔμορφος Εὐειδοῦς διαφέρει. Εὔμορφος μὲν γὰρ, ὁ τὴν μορφὴν εὖ ἔχων, οἷον εὐπρόσωπος. (καὶ γὰρ τὸ τὴν ὄψιν πως σχηματίζειν, Μορφίζειν λέγομεν) Εὐειδὴς δὲ, ὁ τὸ εἶδος καλῶς ἔχων, οἷον πᾶν τὸ σῶμα.

Εὐθὺς, Εὐθὺ, καὶ Εὐθέως, διαφέρουσιν. Εὐθὺς μὲν γὰρ, ὁ κανών· Εὐθὺ δὲ τοῦ γυμνασίου αὐτῶν, κατ᾽ εὐθεῖαν τοῦ γυμνασίου· ἢ Εὐθὺ τὸ κανόνιον. τὸ δὲ Εὐθέως, ἀντὶ τοῦ χρονικοῦ ἐπιῤῥήματος. ὁ οὖν ἐναλλάσσων ἁμαρτάνει, καθὰ Μένανδρος ἐν Δυσκόλῳ,
Τί φὴς ἰδὼν ἔνθεν γε πᾶς δ᾽ ἐλευθερῶν,
Ἀπῆλθες εὐθὺς, ὡς ταχύ.
Τινὲς μέν τοι τῶν ἀρχαίων φασὶ, καὶ τὸ Εὐθὺς ἀντὶ χρονικοῦ κεῖσθαι. φασὶ γοῦν κατὰ λέξιν. Τινὲς δὲ τὸ μὲν εὐθὺ λέγουσιν ἐπί τινος εὐθέος. οἷον ἐὰν μὲν ᾖ θηλυκὸν τοὔνομα, ἡ εὐθεῖα ὁδὸς, εὐθεῖα βακτηρία. ἐὰν δὲ ἄῤῥεν, εὐθὺς ὁ κανών· ἐὰν δ᾽ οὐδέτερον, εὐθὺ τὸ ξύλον. οἱ δὲ ἀρχαῖοι ἐνίοτε τὸ Εὐθὺ ἐτίθεσαν, τὸ ἐφ᾽ ὁδοῦ τῆς τεινούσης ἐπί τινος τόπου· εὐθὺ τῆς στοᾶς, εὐθὺ τῶν ἁρμάτων. τὸ δὲ κατὰ τοὺς χρόνους οὐ λέγεται, ἀλλ᾽ Εὐθύς. οἷον
Γήμαντος αὐτοῦ δ᾽, εὐθὺς ἔσομ᾽ ἐλεύθερος.
καὶ,
Ὡς τοῦτο δ᾽ εἶδεν, εὐθὺς ἦν ἄνω, κάτω.

Εὐφραίνεσθαι καὶ Ἥδεσθαι διαφέρει. Πλάτων Πρωταγόρᾳ, Εὐφραίνεσθαι μὲν γάρ ἐστι, μανθάνοντά τι καὶ φρονήσεως μεταλαμβάνοντα αὐτῇ τῇ διανοίᾳ. Ἥδεσθαι δὲ, ἐσθίοντά τι ἢ ἄλλο ἡδὺ πάσχοντα αὐτῷ τῷ σώματι.

Εὐθὺς καὶ Εὐθὺ διαφέρει. τὸ μὲν γὰρ Εὐθὺς, χρονικόν ἐστιν ἐπίῤῥημα· τὸ δὲ Εὐθὺ, τὸ ἐξ ἐναντίας δηλοῖ.

Εὐεργεσία καὶ Χάρις διαφέρει. Εὐεργεσία μὲν γάρ ἐστιν, ἡ μεγάλη χάρις. Χάρις δὲ, ἡ ἐλάττων. οἷον, χιτῶνα ἢ κύνα χαρίζεται, εὐεργετεῖ δὲ οὔ.

Εὐθὺ καὶ Ὀρθὸν διαφέρει. τὸ μὲν γὰρ Εὐθὺ ἀντίκειται τῷ στρεβλῷ· τὸ Ὀρθὸν, τῷ πλαγίῳ.

Εὖ τοῦ Καλῶς διαφέρει. Εὖ μὲν, τὸ ὀρθῶς σημαίνει. Καλῶς δὲ, τὸ χρήσιμον συνῃρημένως. τὸ οὖν Εὖ καὶ Καλῶς σημαίνει ὀρθῶς καὶ χρησίμως.

Ἐχθρὸς Πολεμίου καὶ Δυσμενοῦς διαφέρει. Ἐχθρὸς μὲν γάρ ἐστιν, ὁ πρότερον φίλος. Πολέμιος δὲ, ὁ μεθ᾽ ὅπλων χωρῶν πέλας· Δυσμενὴς δ᾽ ὁ χρόνιον πρὸς τόν ποτε φίλον τὸ μῖσος διατηρῶν, καὶ δυσδιαλλάκτως ἔχων.

Z.

Ζῆλος καὶ Ζηλοτυπία διαφέρει. Ζηλοτυπία μὲν γάρ ἐστιν αὐτὸ τὸ πάθος, ἤγουν τὸ ἐν μίσει ὑπάρχον. Ζῆλος δὲ, μίμησις καλοῦ· οἷον, ζηλοῖ τὸν καθηγητὴν ὁ παῖς. Ζηλοῖ δέ τε γείτονα γείτων, Ἡσίοδος, ἐπὶ καλοῦ. Ζηλοτυπεῖ δὲ ἡ δεῖνα τόνδε.

Ζηλῶσαι τοῦ Ἐρίσαι διαφέρει. Ζηλοῦν μὲν γάρ ἐστι τὸ σὺν ἐπιθυμίᾳ μιμεῖσθαι. Ἐρίζειν δὲ, τὸ μετὰ μάχης φιλονεικεῖν.

Ζῆλος Φθόνου διαφέρει. Ζῆλος μὲν γάρ ἐστιν, ἡ δι᾽ ἐπιθυμίαν μίμησις γινομένη, δοκοῦντος τινὸς καλοῦ. Φθόνος δὲ, βασκανία τὶς τῶν ἄλλοις μὲν προσόντων ἀγαθῶν, ἡμῖν δ᾽ οὔ.

Ζῆλος μέν ἐστι λύπη ἐπ᾽ ἀλλοτρίοις ἀγαθοῖς, οἷα καὶ ἑαυτῷ τις ἐπιθυμεῖ περιποιῆσαι.

Ζήλου τρία εἴδη. ὁ μὲν γάρ ἐστι Μακαρισμὸς, καθὰ καὶ φησί τις, Ζηλῶ τὸν τοῦ δεῖνα ἐπὶ τῷδε· δεύτερος, καθὸ ζηλωτής τινος λέγεται· οἷον, Θησεὺς Ἡρακλέους. τρίτος δὲ, ὁ φθόνῳ ὅμοιος.

Ζυγὸς, ἀρσενικῶς μὲν, ἐπὶ τῶν βοῶν· θηλυκῶς δὲ, ἐπὶ τῶν σταθμῶν.

Ζώνη καὶ Ζώνιον διαφέρει. Ζώνη μὲν γάρ ἐστιν ἡ τοῦ ἀνδρός. Ζώνιον δὲ, τὸ τῆς γυναικός.

H.

Ἠγέρθη καὶ Ἀνέστη διαφέρει. Ἠγέρθη μὲν λεκτέον, ἀπὸ ὕπνου. Ἀνέστη δὲ, ἀπὸ κλίνης.

Ἦθος μέν ἐστιν ἀρχὴ ἐπιτηδεύματος. Τρόπος δὲ, ἐπίστασις πράξεων κατὰ στάσιν καὶ ἀναστροφήν.

Ἤλπισαν καὶ Ἐπήλπισαν διαφέρει. Ἤλπισαν μὲν γὰρ αὐτοί τινας ἐλπίδας ἔχοντες περί τινος. Ἐπήλπισαν δὲ ἕτεροι ἑτέρους, εἰς ἐλπίδα ἤγαγον.

Ἡμέρα Ἠοῦς διαφέρει. Ἡμέρα μὲν γάρ ἐστι τὸ κατάστημα μόνον ἀσώματον, ἣν Ἡσίοδος Νυκτὸς γενεαλογεῖ,
Νυκτὸς δ᾽ αὖτ᾽ αἰθήρ τε καὶ ἡμέραι ἐξεγένοντο.
Ἠοῦς δὲ τὸ συναμφότερον, ὃν πάλιν Ἡσίοδος Θείας ὑποτίθεται·
Θεία δ᾽ ἠέλιόν τε μέγαν, λαμπράν τε σελήνην,
Ἠῶθ᾽, ἣ πάντεσσιν ἐπιχθονίοισι φαείνει,
Γείνατο. ——
ἐπὶ δὲ τῆς σωματοειδοῦς,
Ἀλλ᾽ ἤτοι τοῦτον χρυσόθρονος ἥρπασεν Ἠώς.
Ἦς, καὶ Ἦσθα, καὶ Ἦ, διαφέρει. τὸ μὲν γὰρ Ἦσθα, παρῳχημένον δηλοῖ χρόνον· τὸ δὲ Ἦς, τὸν μέλλοντα. Ὅμηρος,
Δηΐφοβ᾽ ἦ μέν μοι τὸ πάρος πολὺ φίλτατος ἦσθα.
ἐπὶ δὲ τοῦ Ἦς, Μένανδρος ἐν Ψευδηρακλεῖ·
Ὑπὲρ μὲν οἴνου, μηδὲ γρῦ τιτθῇ λέγε,
Ἂν τἄλλα δ᾽ ᾖς ἄμεμπτος, εἰς τὴν ἑβδόμην
Βοηδρομιῶνος ἐνδελεχῶς ἕξεις ἀεί.
καὶ καθόλου πάντοτε οὕτω λέγεται ἐπὶ τοῦ μέλλοντος, καὶ κατὰ τὴν ἡμετέραν συνήθειαν. οἷον, ἐὰν νοῇς, ἐὰν λαλῇς, ὅπως λαλῇς. ἐὰν ᾖς ἀγαθός. ὁ γοῦν λέγων πρός τινα, Ἦς ποτὲ πλούσιος, ἀγνοήσει τὴν διαφορὰν, δέον φάναι Ἦσθα. τὸ δὲ Ἦ ἀντὶ τοῦ ἔφη, τάττει Ὅμηρος.
Ἦ, καὶ κυανέῃσιν ἐπ᾽ ὀφρύσι νεῦσε Κρονίων.
διαφέρει δὲ τὰ ῥήματα τῇδε, ὅτι τὸ μὲν ἐπὶ τρίτου προσώπου μόνον τάσσεται· τὸ δὲ ἔφη, ἐπὶ τριῶν, ὡς ἔφημεν.

Ἡσυχία ὁτὲ μὲν σιωπὴν σημαίνει, ὁτὲ δὲ τὴν ἐπιείκειαν, ὁπότε φαμὲν, ἐν πολλῇ διάγειν ἡσυχίᾳ.

Θ.

Θαλαμὰς, ὡς ἀγαθὰς, καὶ Θαλάμας, ὡς μεγάλας, διαφέρειν φησὶ Τρύφων παρὰ τοῖς Ἀττικοῖς, ἐν δευτέρῳ περὶ Ἀττικῆς προσῳδίας. ἐὰν μὲν γὰρ ὀξυτονήσωμεν, δηλώσει τὸ τῶν Διοσκούρων ἱερόν· ἐὰν δὲ βαρυτονήσωμεν, τὰς καταδύσεις μηνύει.

Θαυμάζω, γενικῇ μὲν συνταττόμενον σημαίνει τὸ καταγινώσκω καὶ κατηγορῶ. οἷον, θαυμάζω τῶν ταύτην ἐχόντων τὴν γνώμην. αἰτιατικῇ δὲ, τὸ ἐπαινῶ. οἷον, Θαυμάζω τοὺς οὕτω φρονοῦντας.

Θεημαχία καὶ Θεομαχία διαφέρει. Θεημαχία μὲν γάρ ἐστιν ἡ πρὸς θεὸν μάχη· Θεομαχία, αὐτῶν τῶν θεῶν πρὸς ἀλλήλους μάχη.

Θεωρὸς καὶ Θεατὴς διαφέρει. Θεωρὸς μὲν γάρ ἐστιν ὁ εἰς θεοὺς πεμπόμενος. Θεατὴς δὲ, ὁ ἀγώνων καὶ θεάτρων.
Πότερον θεατὴς, ἢ χάριν μαντευμάτων;
καὶ Αἰσχύλος.
Βοᾶς τοιοῦδε πράγματος θεωρὸς ὤν.
ἁμαρτάνουσιν οὖν οἱ λέγοντες, Θεωρῆσαί με δεῖ τὸν ἀγῶνα· δέον εἰπεῖν, Θεάσασθαι. διαστέλλει οὖν τοῦτο ἐπιμελῶς Λυσιμαχίδης ἐν τῷ πρὸς Καικίλιον περὶ τῶν παρὰ τοῖς Ἀττικοῖς ῥητόρων, καὶ πολλῶν παραθέσεις ποιεῖται, καὶ ἔστι τὸ Θεάσασθαι, ὥσπερ πρόκειται, παρὰ τὴν θέαν· τὸ δὲ θεωρεῖν (φησὶν) οὐκ ἄλλό τι ἢ τὸ τῶν θεῶν ὠρεῖν, τοῦτο δὲ τὸ φροντίζειν. διὸ καὶ τοὺς τῶν θεαμάτων ἕνεκα πεμπομένους, σὺν θυσίαις δὲ καὶ εὐσεβείᾳ, πάντας ὠνόμαζον θεωρούς. καὶ τὸ τοῖς Ἀθηναίοις διδόμενον Θεωρικὸν, οὐχὶ διὰ τὰς θέας, (ὡς Καικίλιος ὑπέλαβεν) ἀλλὰ διὰ τὸ ἐν ταῖς ἑορταῖς εἰς τοὺς θεοὺς εὐσεβεῖν, καὶ ἐπιθεῖν, καὶ εὐφραίνεσθαι.

Θεράποντες καὶ Οἰκέται διαφέρουσι. Θεράποντες μὲν γὰρ οἱ ὑποτεταγμένοι φίλοι, ὑφ᾽ ὧν θεραπεύονται οἱ προσήκοντες. Οἰκέται δὲ, δεσποτῶν.

Θέσθαι καὶ Ὑποθέσθαι διαφέρει. Θέσθαι μὲν γάρ ἐστι τὸ λαβεῖν ὑποθήκην· Ὑποθέσθαι δὲ, τὸ δοῦναι ὑποθήκην.

Θέλειν καὶ Βούλεσθαι ἐὰν λέγῃ τὶς, δηλώσει, ὅτι ἀκουσίως τε καὶ εὐλόγως ὀρέγεται τινός.

Θερίζειν, τό, τε διατρίβειν τὴν τοῦ θέρους ὥραν, (ὡς τὸ Χειμάζειν) καὶ τὸ τοὺς Δημητριακοὺς καρποὺς συλλέξαι.

Θηβαῖοι καὶ Θηβαγενεῖς διαφέρουσιν, καθὼς Δίδυμος ἐν ὑπομνήματι τῷ πρώτῳ τῶν παιάνων Πινδάρου φησὶν, Καὶ τὸν τρίποδα ἀπὸ τούτου Θηβαγενεῖς πέμπουσι τὸν χρύσεον εἰς Ἰσμηνὸν πρῶτον. τίς δ᾽ ἐστὶ διαφορὰ Θηβαγενέων πρὸς Θηβαίους, Ἔφορος ἐν τῇ δευτέρᾳ φησί. οὗτοι μὲν οὖν συνετάχθησαν εἰς τὴν Βοιωτίαν. τοὺς δὲ τοῖς Ἀθηναίοις ὁμόρους προσοικοῦντας ἰδίᾳ Θηβαῖοι προσηγάγοντο πολλοῖς ἔτεσιν. ὕστερον δὲ οἱ σύμμικτοι ἦσαν πολλαχόθεν, ἐνέμοντο δὲ τὴν ὑπὸ τὸν Κιθαιρῶνα χώραν, καὶ τὴν ἀπομάντιον τῆς Εὐβοίας. ἐκαλοῦντο δὲ Θηβαγενεῖς, ὅτι προσεγένοντο τοῖς ἄλλοις Βοιωτοῖς διὰ Θηβαίων.

Θὴς, Λάτρις, Ἀμφίπολος, Ἄτμενος, διαφέρουσι. Θὴς μὲν γὰρ, ὁ ἐπὶ μισθῷ δουλεύων·
——— θῆτές τε δμῶές τε.
Λάτρις δὲ, ὁ κατὰ πολεμικὴν περίστασιν ἁλοὺς, καὶ ἐπὶ δουλείαν προσαχθείς. Ἀμφίπολος δὲ, κοινὸν ὄνομα ἄῤῥενος καὶ θηλείας δούλης. Ἄτμενος δὲ, οὐ μόνον ὁ δοῦλος, ἀλλὰ καὶ ὁ ὑποτεταγμένος ἐλεύθερος.

Θράσος καὶ Θάρσος διαφέρει. Θράσος μὲν γάρ ἐστιν, ἡ ἄλογος ὁρμή. Θάρσος δὲ, ἔλλογος ὁρμή.

Θύρα καὶ Θυραία διαφέρει. Θύρα μὲν γάρ ἐστιν, ἡ ἐξ ἀρχῆς γενομένη. Μένανδρος ἐν παρακαταθήκῃ, θύραν ἔξελε. Θυραία δὲ, τὸ μέλλον πρὸς ἐκκοπὴν θύρας μέγεθος.

Θύεσθαι τοῦ Σφάττεσθαι διαφέρει. Θύεσθαι μὲν γάρ ἐστιν, ἐπὶ τιμῇ θεοῦ· καὶ τὸ μαντεύεσθαι ἐπὶ τιμῇ διὰ σπλάγχνων Θύεσθαι φαμέν. Σφάττεσθαι δὲ, τὸ δι᾽ ἡντιναοῦν αἰτίαν φονεύσασθαι. καὶ τὸ μὲν ἐπ᾽ ἀλόγου, τὸ δ᾽ ἐπ᾽ ἀνθρώπου τάττεται.

Θύουσι καὶ Θύονται διαφέρει. Θύουσι μὲν γὰρ οἱ σφάττοντες τὰ ἱερεῖα. Θύονται δὲ οἱ διὰ τῶν σπλάγχνων μαντευόμενοι.

Θύρα καὶ Θύραι διαφέρει. Θύρα μὲν γάρ ἐστι τὸ ἐπίθεμα τὸ ἐκ τῶν σανίδων· Θύραι δὲ, τὸ ἄνοιγμα αὐτὸ, καὶ τὰ χαλάσματα τῆς θύρας.

Θυμὸς μέν ἐστι πρόσκαιρος. Ὀργὴ δὲ, πολυχρόνιος μνησικακία.

I.

Ἱερεῦσαι καὶ Καθιερεῦσαι λέγουσιν ἐπὶ τῶν θυομένων ἱερείων. Ἱερῶσαι δὲ καὶ Καθιερῶσαι, ἐπὶ τῶν ἀνατιθεμένων.

Ἱερεῖον καὶ Χρηστήριον διαφέρει. Ἱερεῖον μὲν γάρ ἐστι κοινῶς τὸ σφαζόμενον πρὸς θυσίαν ἅπασαν· Χρηστήριον δὲ, τὸ ἱερὸν ᾧ χρῶνται χρηστηριαζόμενοι. Ἡρόδοτος, Καθάπερ ἔτι καὶ νῦν, ὅταν χρηστήρια θύουσιν ἐν τῷ ἱερῷ.

Ἱερὰ, τούς τε περιβόλους τῶν ναῶν, καὶ τὰ σφάγια, καὶ τὰ ὀστᾶ τῶν ἀνθρώπων, ὡς Ὑπερίδης ἐν τῷ κατὰ Ἀρχιστρατίδου· καὶ τὰ ξόανα, ὡς Θεόπομπος ἐν εἰκοστῇ ἕκτῃ.

Ἱκέσθαι καὶ Ἀφικέσθαι διαφέρει, ὥς φησιν Ἡρακλείδης. Ἱκέσθαι μὲν γάρ ἐστι, τὸ ἐλθεῖν. Ἀφικέσθαι δὲ, τὸ ἐπανελθεῖν. Ὅμηρος τὴν διαφορὰν φησιν,
——οὐδ᾽ αὖτις ἀφίκετο πατρίδα γαῖαν.
καὶ,
Ἵκετο δ᾽ ἐς Μαραθῶνα καὶ εὐρυάγυιαν Ἀθήνην.

Ἰδουμαῖοι καὶ Ἰουδαῖοι διαφέρουσιν, ὥς φησι Πτολεμαῖος ἐν πρώτῳ περὶ Ἡρώδου τοῦ βασιλέως. Ἰουδαῖοι μὲν γάρ εἰσιν, οἱ ἐξ ἀρχῆς φυσικοί. Ἰδουμαῖοι δὲ, τὸ μὲν ἀρχῆθεν οὐκ Ἰουδαῖοι, ἀλλὰ Φοίνικες καὶ Σύροι, κρατηθέντες δὲ ὑπ᾽ αὐτῶν, καὶ ἀναγκασθέντες περιτέμνεσθαι, καὶ συντελεῖν εἰς τὸ ἔθος, καὶ τὰ αὐτὰ νόμιμα ἡγεῖσθαι, ἐκλήθησαν Ἰουδαῖοι.

Ἶπες, καὶ Θρῖπες, καὶ Κίες, καὶ Ἶκες διαφέρουσιν. Ἶπες μὲν γὰρ λέγονται θηρίδια τὰ διαβρωτικὰ τῶν κεράτων. Ὅμηρος,
Μὴ κέρα ἶπες ἔδοιεν.
Θρῖπες δὲ, τὰ ἐσθίοντα τὰ ξύλα· καὶ Θριπηδέστατα, τὰ ὑπὸ θριπῶν βεβρωμένα ξύλα, οἷς καὶ ἀντὶ σφραγίδων ἐχρῶντο, ὅτι ἦν δυσπαραποίητα. Κίες δὲ, τὰ ἐν ταῖς κριθαῖς καὶ ἐν τοῖς πυροῖς θηρίδια. Ἶκες δὲ, τὰ διεσθίοντα τοὺς ὀφθαλμοὺς τῶν ἀμπέλων. Ἀλκμὰν, καὶ ποικίλον ἶκα, τὸν ὀφθαλμῶν ἀμπέλων ὀλετῆρα.

Ἴσοι καὶ Κοινοὶ διαφέρει. Πλάτων ἐν Πρωταγόρᾳ, Χρὴ γὰρ τοὺς ἐν τοῖσδε λόγοις παραγενομένους, κοινοὺς μὲν εἶναι ἀμφοῖν τοῖν διαλεγομένοιν ἀκροατὰς, ἴσους δὲ μή. ἔστι γὰρ οὐ ταυτόν. κοινῇ μὲν γὰρ ἀκοῦσαι ἀμφοτέρων χρὴ, μὴ ἴσον δὲ νεῖμαι ἑκατέρῳ, ἀλλὰ τῷ μὲν σοφωτέρῳ, πλέον, τῷ δὲ ἀμαθεστέρῳ, ἔλασσον.

Ἰσοτελὴς καὶ Μέτοικος διαφέρει. Ἰσοτελὴς μὲν γὰρ, ὁ τετιμημένος μέτοικος ἐν τῷ ἴσῳ τάγματι τοῖς πολίταις· καὶ τὸ μὲν μετοίκιον μὴ τελῶν, πάντα δὲ ἔχων τὰ αὐτὰ τοῖς πολίταις, πλὴν τοῦ ἄρχειν· Μέτοικος δὲ, ὁ μετοικήσας εἰς ἑτέραν πόλιν ἐκ τῆς ἑαυτοῦ, καὶ τοῦ μὲν ξένου πλέον τὶ ἔχων, τοῦ δὲ πολίτου ἔλαττον. ἐτέλει δὲ ὁ Μέτοικος κατ᾽ ἐνιαυτὸν Μετοικίου δραχμὰς δέκα, καὶ ἐν τῇ τῶν Ἀθηναίων πομπῇ σκάφην ἔφερε κηρία ἔχουσαν· ὅθεν καὶ Σκαφηφόρους ἔλεγον τοὺς μετοίκους. πολλάκις δὲ καὶ συνεστράτευον τοῖς Ἀθηναίοις.

Ἰσθμὸς καὶ Πορθμὸς διαφέρει. Ἰσθμὸς μὲν γάρ ἐστι γῆς στενῆς δίοδος, ἑκατέρωθεν θαλάσσης περιεχομένης. Πορθμὸς δέ ἐστι στενὸς θαλάσσης πόρος, ἑκατέρωθεν ὑπὸ γῆς περιεχόμενος.

Ἴσθι καὶ Γίνωσκε διαφέρει. Ἴσθι μὲν γὰρ, ἐπὶ τοῦ γίνωσκε τάσσεται. αὐτὴ δ᾽ οἴη ἴσθι, ἀντὶ τοῦ γίνωσκε. καὶ τὸ πληθυντικὸν ἴστε, ἀντὶ γινώσκετε. καὶ Μένανδρος ἐν Ἥρωϊ·
Εὖ ἴσθι, κἀγὼ τοῦτο συγχωρήσομαι.
τάσσουσι δὲ ὅμως καὶ ἐπὶ τοῦ ἰδίου τὸ Ἴσθι. Εὔφημος,
—— Ἴσθι μοῦνον ἐξορμωμένη,
ἀντὶ τοῦ γίνου.

Ἱστοριογράφος Συγγραφέως διαφέρει. Ἱστοριογράφος μὲν γάρ ἐστιν ὁ τὰ πρὸ αὐτοῦ γεγονότα συγγραφόμενος, ὡς Ἡρόδοτος. Συγγραφεὺς δὲ, ὁ τὰ ἐφ᾽ ἑαυτοῦ, ὡς Θουκυδίδης.

Ἱστοδόκη καὶ Ἱστοπέδη διαφέρουσιν. Ἱστοδόκη μὲν γάρ ἐστιν, ἐφ᾽ ἧς ὁ ἱστὸς κατακλίνεται. Ὅμηρος,
Ἱστὸν δ᾽ ἱστοδόκῃ πέλασαν.
Ἱστοπέδη δὲ, ὁ ἐν μέσῳ τῆς νεὼς κοῖλος τόπος (τινὲς δὲ Ληνίδα καλοῦσιν,) εἰς ὃν ὁ ἱστὸς ἐντίθεται.
——ἀλλά με δεσμῷ
Δῆσαν ἐν ἀργαλέῳ, ὄφρ᾽ ἔμπεδον αὐτόθι μίμνω,
Ὀρθὸν ἐν ἱστοπέδῃ.

Ἰταλοὶ καὶ Ἰταλιῶται διαφέρουσιν. Ἰταλοὶ μὲν γὰρ, οἱ ἀρχῆθεν τὴν χώραν οἰκοῦντες· Ἰταλιῶται δὲ, ὁπόσοι τῶν Ἑλλήνων ἐπῴκησαν μετὰ ταῦτα. τὸ αὐτὸ καὶ ἐπὶ τῶν Σικελιωτῶν.

K.

Κατοίκησις, καὶ Κατοίκισις διαφέρει, ὥς φησιν Ἀπολλωνίδης ὁ Νικαεὺς ἐν τῷ τρίτῳ περὶ κατεψευσμένων. Κατοίκισις μὲν γάρ ἐστιν ἡ ὑφ᾽ ἑτέρων γινομένη ἵδρυσις· Κατοίκησις δὲ, ὅταν αὐτοί τινες οἰκήσωσι τόπον ἢ πόλιν τινὰ καταλαβόντες. οἷον, Ἀθηναῖοι κατῴκησαν μὲν τὴν ἀκρόπολιν, κατῴκισαν δὲ Ἴωνας. καὶ ἔστι

παρὰ μὲν τὸ κατοικεῖν, ἡ Κατοίκησις. παρὰ δὲ τὸ κατοικίζειν, ἡ Κατοίκισις.

Καταβολὴ καὶ Εἰσβολὴ διαφέρει. Καταβολὴ μὲν γὰρ, ἡ ἔκτισις τοῦ εἰσφερομένου ἀργυρίου. Εἰσβολὴ δὲ, περίοδος τοῦ πυρετοῦ.

Κάταγμα καὶ Κάταγμα διαφέρει. Κάταγμα μὲν, ἐκτεταμένως, τὸ κατεαγὸς καὶ συντετριμμένον. Κάταγμα δὲ, βραχέως, τὸ τοῦ ἐρίου ἕλκυσμα.

Καταχύματα καὶ Καταχύσματα διαφέρει. Καταχύματα μὲν γὰρ χωρὶς τοῦ σ, τὰ καταχεόμενα ὕδατα, ἐπὶ λουτρῶνος, καὶ τῶν ἄλλων ὁμοίων. Καταχύσματα δὲ σὺν τῷ σ, αἱ ἰσχάδες καὶ τὰ ἄλλα τραγήματα, ἃ τῶν νεωνήτων δούλων κατέχευον. Ἀριστοφάνης,

Εἶτ' οὐχὶ δέξῃ δὴ τὰ Καταχύσματα;

καὶ Δημοσθένης ἐν τῷ κατὰ Στεφάνου ψευδομαρτυριῶν, Ἀλλ' αὐτὸς μὲν οὐκ ὤκνησε τὴν δέσποιναν ἂν γῆμαι, ἣ τὰ Καταχύσματα αὐτοῦ κατέχευε τότε, ἡνίκα ἐωνήθη.

Κάδος καὶ Καδίσκος διαφέρει. Κάδος μὲν λέγεται, ᾧ ἐκ τοῦ φρέατος ἀνιμῶσι τὸ ὕδωρ· Καδίσκος δὲ, ἀγγεῖον εἰς ὃ τὰς ψήφους ἐμβάλλουσι.

Καθάρσια καὶ Καθάρματα διαφέρει. Καθάρσια μὲν γὰρ λέγονται τὰ ἱερὰ, καὶ τὰ ἄλλα οἷς καθαίρονται. Καθάρματα δὲ, τὰ μετὰ τὸ καθαρθῆναι ἀποῤῥιπτούμενα.

Κανθαρίζειν καὶ Τονθορίζειν διαφέρει. Κανθαρίζειν μὲν γὰρ λέγουσιν οἱ Ἀττικοὶ τὸ τρέμειν· Τονθορίζειν δὲ, τὸ ψιθυρίζειν καὶ γογγύζειν.

Καιρὸς καὶ Χρόνος διαφέρει. Καιρὸς μὲν γάρ ἐστι μέρος χρόνου, οἷον μεμετρημένων ἡμερῶν σύστημα. Χρόνος δὲ, Πολλῶν καιρῶν περιοχὴ καὶ σύλληψις. Ἄλλως, Ὁ μὲν Καιρὸς δηλοῖ ποιότητα χρόνου, οἷον, ὅτε πόλεμος ἦν. Χρόνος δὲ, ποσότητα, οἷον, πρὸ δέκα χρόνων, ἢ μετὰ δέκα ἔτη.

Κάλλαια καὶ Κάλλη διαφέρει. Κάλλαια μὲν γὰρ, οἱ τῶν ἀλεκτρυόνων πώγωνες. Κάλλη δὲ, τὰ ἄνθη τῶν βαμμάτων.

Κάθησον τοῦ Κάθισον διαφέρει. Κάθησον μὲν γὰρ ἐροῦμεν αὐτῷ τινι περὶ ἑαυτοῦ κελεύοντες. Κάθισον δὲ, περὶ ἑτέρου, Κάθισον αὐτόν.

Κακὸς Πονηροῦ διαφέρει, ὥσπερ ὁ Ἄκακος τοῦ Ἀγαθοῦ. Κακὸς μὲν γὰρ, ὁ πανοῦργος. Πονηρὸς δὲ, ὁ δραστικὸς κακοῦ.

Κακοήθεια μέν ἐστι κακία κεκρυμμένη. Κακοτροπία δὲ, ποικίλη καὶ παντοδαπὴς πανουργία.

Κέλης καὶ Ἐπακτροκέλης διαφέρει. Κέλης μὲν γάρ ἐστι πλοιάριόν τι μικρόν. Ἐπακτροκέλης δὲ, κακοῦργον καὶ ληστρικὸν σκάφος, μεταξὺ ἐπακτρίδος καὶ κέλητος. Αἰσχίνης ἐν τῷ κατὰ Τιμάρχου, Ἀλλ' αἱ προπετεῖς τοῦ σώματος ἡδοναὶ, καὶ τὸ μηδὲν ἱκανὸν εἶναι, ταῦτα πληροῖ τὰ ληστήρια· ταῦτα εἰς τὸν ἐπακτροκέλητα ἐμβιβάζει. Ἐπακτῆρες δὲ κυνηγέται καλοῦνται.

Κέλυφος, Κελύφανον, καὶ Ἔλυτρον διαφέρει. Κέλυφος μὲν γὰρ λέγεται ἐπὶ τῶν ὀστρακοδέρμων, οἷον τῶν κογχυλίων. Κελύφανον δὲ, ἐπὶ τῶν τραγημάτων καὶ ὀσπρίων. Ἔλυτρον δὲ, τὸ ὑγρὸν χώρημα.

Κέδρος θηλυκῶς μὲν, τὸ δένδρον· ἀρσενικῶς δὲ, ὁ καρπός. Ἀλλὰ θύε τοὺς κέδρους.

Κηρύξαι, Ἀποκηρύξαι, καὶ Ἐπικηρύξαι διαφέρει. Κηρύξαι μὲν γὰρ, καὶ Ἀποκηρύξαι λέγουσιν ἐπὶ τοῦ ὑπὸ κήρυκι ἀποδίδοσθαί τι. Μένανδρος, Ἀπεκήρυξεν αὐτὴν ἀγαγὼν, οἷον, ὑπὸ κήρυκι ἐπώλησε. Ἐπικηρύξαι δὲ, τὸ ὑποσχέσθαι χρήματα δώσειν τῷ συλλαβόντι, καὶ ἀνάγοντι, καὶ ἀποκτείναντι τινὰ τῶν δικασθέντων.

Κιβωτὸς καὶ Κίστη διαφέρει. Κιβωτὸς μὲν γάρ ἐστιν ἡ ξυλίνη· διὸ καὶ Ἀντίπηξ καλεῖται. Κίστη δὲ, ἡ πλεκτή.

Κίνησις Περιφορᾶς διαφέρει. Κίνησις μὲν γάρ ἐστι κυρίως ἡ ἐκ τόπου εἰς τόπον μετάβασις. Περιφορὰ δὲ, ἡ περὶ τὸν αὐτὸν τόπον στροφή.

Κίθαρις καὶ Κιθάρα διαφέρει, φησὶν Ἀριστόξενος, ἐν τῷ περὶ ὀργάνου. Κίθαρις γάρ ἐστιν ἡ λύρα, καὶ οἱ χρώμενοι αὐτῇ, Κιθαρισταὶ, οὓς ἡμεῖς λυρῳδοὺς φαμέν. Κιθάρα δὲ, ᾗ χρῆται ὁ κιθαρῳδός. Αἰσχίνης ἐν τῷ κατὰ Τιμάρχου διαστέλλει, καὶ φησὶν οὕτω· Περὶ αὐτῷ εἶχε κιθαριστὰς καὶ κιθαρῳδούς. Κιθαριστὴς μέν ἐστιν ὁ μόνον ψάλλων. Κιθαρῳδὸς δὲ, ὁ ᾄδων καὶ ψάλλων.

Κλῆσις καὶ Πρόκλησις διαφέρει. Κλῆσις μὲν γάρ ἐστιν ἡ εἰς ὁτιοῦν τῶν δικαστηρίων γενομένη. Πρόκλησις δὲ, ἡ εἰς Ἄρειον πάγον.

Κλῆμα Κλίματος διαφέρει. Κλῆμα μὲν γάρ ἐστιν εἶδος ἀμπέλου. Κλῖμα δὲ, μέρος τὶ τοῦ κόσμου.

Κλύσαι μὲν λέγεται ποτήριον ἢ ἀγγεῖον· Νίψαι δὲ, πρόσωπον καὶ πόδα. Πλύναι δ' ἐσθῆτα.

Κόρδαξ καὶ Κάρδαξ διαφέρει. Κόρδαξ μὲν γάρ ἐστιν εἶδος ὀρχήσεως. Κάρδαξ δέ τις ἐκαλεῖτο στρατιώτης. βάρβαρος δὲ ἡ λέξις. καλεῖται δὲ ἡ μὲν τραγικὴ ὄρχησις, Ἐμμέλεια. Σίκινις δὲ, ἡ σατυρική. Κόρδαξ δὲ, ἡ κωμική.

Κομιδῆ καὶ Κομιδὴ διαφέρει. Κομιδῆ γὰρ περισπωμένως ἐπίῤῥημα, καὶ σημαίνει τὸ παντελῶς. Κομιδὴ ὀξυτόνως, ὄνομα, οἷον. Οὐ σφῷιν κομιδή. λέγεται δὲ ἡ ἀπόληψίς τινος Κομιδὴ, παρὰ τὸ κομίσασθαι καὶ ἀπολαβεῖν.

Κόπτει καὶ Ψοφεῖ διαφέρει. Κόπτει μὲν γὰρ τὴν θύραν ὁ ἔξωθεν· Ψοφεῖ δὲ, ὁ ἔσωθεν ἐξιών.

Κομᾷν καὶ Κουριᾷν διαφέρει. Κομᾷν μὲν γάρ ἐστι τὸ ἐπί τινος σεμνύνεσθαι τῶν καλῶς πεπραγμένων, καὶ τρέφειν τὴν κόμην. Κουριᾷν δὲ, τὸ κουρᾶς ἐπιδεῖσθαι, καὶ τὴν κόμην καθιέναι.

Κόρυδος καὶ Κορύδαλος διαφέρει. Κόρυδος μὲν γὰρ, τὸ ὄρνεον· λέγεται δὲ γῆς ἱερόν. Κορύδαλος δὲ, δῆμος Ἀθήνησιν, ἐν ᾧ σωτῆρος κούρης ἱερόν.

Κόνις καὶ Κονὶς διαφέρει. τὸ γὰρ λεπτότατον τῆς γῆς, Κονὶς, ὀξύνεται· τὸ δ', ἐπὶ τῆς κεφαλῆς γινόμενον φθειρῶδες, βαρύνεται.

Κόσμος οἰκουμένης διαφέρει. τὸ μὲν, περιέχει οἰκουμένην καὶ ἄστρα· τὸ δὲ, γῆν μόνον τὴν φανεράν.

Κτήματα καὶ Ἐπικτήματα διαφέρει. Κτήματα μὲν γάρ ἐστι τὰ ἐν τῇ οἰκείᾳ. Ἐπικτήματα δὲ, τὰ ἐν ἀλλοτρίᾳ.

Κτῆσις, μέν ἐστι πᾶσα ἡ οὐσία. Κτῆμα δ', ἕν τι.

Κραιπάλη καὶ Μέθη διαφέρει. Κραιπάλη μὲν γάρ ἐστιν ἡ χθεσινὴ μέθη. Μέθη δὲ, ἡ τῆς αὐτῆς ἡμέρας γινομένη οἴνωσις.

Κύπτειν καὶ Κυπτάζειν διαφέρει. Κύπτειν μὲν γάρ ἐστι τὸ ἐπικάμπτεσθαι τῷ σώματι. Κυπτάζειν δέ ἐστι τὸ στραγγεύεσθαι. Ἀριστοφάνης ἐν νεφέλαις,

Χώρει, τί κυπτάζεις ἔχων περὶ τὴν θύραν;

Κυβεύειν καὶ Πεσσεύειν διαφέρει. Κυβεύειν γάρ ἐστι τὸ διὰ ψήφων ἢ ἀστραγάλων παίζειν· Πεσσεύειν δὲ, τὸ διὰ ψήφων.

Κρίνειν τοῦ Διακρίνειν διαφέρει. Κρίνειν μὲν γὰρ, τὸ κυρίως δοκιμάζειν. Διακρίνειν δὲ, τὸ πρᾶγμα πράγματος διϊστᾷν, καὶ χωρίζειν.

Κύειν καὶ Τίκτειν διαφέρει. Κύειν μὲν, τὸ ἔγκυον εἶναι. Τίκτειν δὲ, τὸ ἀπαλλάττεσθαι τοῦ κύειν. Εὐριπίδης ἐναντίον,

Ἡ κύουσα τίκτω (εἶπεν) ἡνίκ' ἡγόμην πάλιν.

Κύριος καὶ Δεσπότης διαφέρει. Κύριος γὰρ τῆς γυναικὸς ὁ ἀνὴρ, καὶ τῶν υἱῶν ὁ πατήρ. Δεσπότης δ' ἀργυρωνήτων τινῶν ἄλλων.

Κωφὸς καὶ Ἐνεὸς, ὁ αὐτὸς παρὰ τοῖς παλαιοῖς ἐλέγετο ὁ μὴ φθεγγόμενος. Ὅμηρος·

—— κύματι κωφῷ.

τῷ μὴ ἀποτελοῦντι ἦχον, καὶ ἡ Πυθία,

Καὶ κωφοῦ ξυνίημι, καὶ οὐ λαλέοντος ἀκούω.

παραλλήλως ἔταξε. νῦν δὲ Κωφὸς ὁ βεβλαμμένος τὴν ἀκοὴν λέγεται.

Κωμῳδὸς καὶ Τραγῳδὸς λέγεται ὁ χορευτὴς καὶ ὑποκριτής. Κωμῳδοποιὸς δὲ καὶ Τραγῳδοποιὸς, οἱ ποιηταί. ἐνίοτε δὲ συγχέουσι τὴν διαφοράν.

Λ.

Λαγχάνειν καὶ Κληρώσασθαι διαφέρει. Λαγχάνει μὲν εἷς, οὗ ἂν ὁ κλῆρος ἔλθῃ. Ὅμηρος,

Κλήρῳ νῦν πεπάλαχθε διαμπερὲς ὅς κε λάχῃσι.

Κληροῦνται δὲ οἱ καθιέντες εἰς τὸν κλῆρον. καὶ Λαγχάνειν μέν ἐστι τὸ ἐκ τῶν κληρουμένων τοῦ προκειμένου τυχεῖν. Κληρώσασθαι δὲ, τὸ κλήρῳ χρήσασθαι.

Λαλεῖν καὶ Λέγειν καὶ Διαλέγεσθαι διαφέρει. Λέγειν μὲν, τὸ τεταγμένως προφέρεσθαι τὸν λόγον. Λαλεῖν δὲ, τὸ ἀτάκτως ἐκφέρειν τὰ ὑποπίπτοντα ῥήματα· Διαλέγεσθαι δὲ, τὸ ἀμείβεσθαι, καὶ λόγον ἀντὶ λόγου παραδιδόναι πρὸς τὸν ἀντιλέγοντα. Πλάτων ἐν Σοφιστῇ. οἱ δ' ἄλλοι Φιλόσοφοι διαιροῦσιν οὕτως, Λαλεῖν μὲν τοὺς ἀτάκτως ἐκφέροντας ὁνπεροῦν λόγον. Διαλέγεσθαι δὲ καὶ Λέγειν, τοὺς μετ' ἐπιμελείας λέγοντας. διαφορὰν δὲ τῶν δύο τούτων λέγουσι, καὶ τὸ μὲν διεξιέναι λόγον συναίροντα, Λέγειν φασί. Διαλέγεσθαι δὲ, τὸ ἀμειβόμενον τοὺς λόγους κατ' ἐρώτησιν καὶ ἀπόκρισιν ποιεῖσθαι.

Λαβεῖν καὶ Δέξασθαι διαφέρει. Λαβεῖν μὲν γάρ ἐστι, τὸ κείμενόν τι ἀνελέσθαι· Δέξασθαι δὲ, τὸ διδόμενον ἐκ χειρός.

Λέπας καὶ Λεπὰς διαφέρει. Λέπας μὲν γὰρ βαρυτόνως ἐστὶν ὄρους ἀπόσπασμα. Λεπὰς δὲ, ὀξυτόνως, ἐν ταῖς πέτραις γινόμενόν τι ὄστρεον.

Λέμβοι καὶ Λέμφοι διαφέρει. Λέμβος μὲν γάρ ἐστι πλοιαρίου τινὸς εἶδος. Λέμφοι δὲ παρὰ Ἀττικοῖς οἱ κορυζώδεις ἐλέγοντο καὶ μυξώδεις. Μένανδρος Ὑποβολιμαίοις,

Γέρων ἀμέμικτ' ἄθλιος λέμφος.

Λέχος καὶ Εὐνὴ διαφέρει. Λέχος μὲν γάρ ἐστιν ἡ κλίνη. Εὐνὴ δὲ, ἡ ἐπὶ ταύτης στρωμνή. φησὶ γοῦν Πηνελόπη·

Ἔνθα οἱ ἐκθεῖσαι πυκινὸν λέχος, ἐμβάλετ' εὐνὴν,

Δέμνια καὶ χλαίνας. ——

Λείαν καὶ Λίαν διαφέρει. Λεία μὲν γὰρ διὰ διφθόγγου σημαίνει τὴν ἀπέλασιν τῶν τετραπόδων·

Ληΐδα δ' ἐκ πεδίου συνελάσαμεν.

διὰ δὲ τοῦ ι, ἐπίῤῥημα δηλοῖ ἐπιτάσεως, ἐάν τε ἐκτείνηται, ἐάν τε συστέλληται.

Λῆμα καὶ Λῆμμα διαφέρει. Λῆμα μὲν γάρ ἐστι δι' ἑνὸς μ, τὸ παράστημα τῆς ψυχῆς. Λῆμμα δὲ διὰ δύο μμ, τὸ λαμβανόμενον.

Λητουργεῖν διὰ τοῦ η, καὶ Λιτουργεῖν διὰ τοῦ ι, διαφέρει, φησὶ Δίδυμος ἐν ὑπομνήματι δευτέρας Ἰλιάδος. τὸ μὲν γὰρ Λητουργεῖν, τὸ τῷ δήμῳ ὑπηρετεῖν· λῆτον γάρ φασι τὸ δημόσιον.

Λήϊτον ἀμφεπένοντο.

τὸ δὲ Λιτουργεῖν, κακὰ λέγειν.

Λίβανος καὶ Λιβανωτὸς διαφέρει. Λίβανος μὲν γὰρ κοινῶς καὶ τὸ δένδρον καὶ τὸ θυμιώμενον. Λιβανωτὸς δὲ, μόνον τὸ θυμιώμενον.

Λογογράφος καὶ Λογοποιὸς διαφέρει. Λογογράφος μὲν γάρ ἐστιν ὁ τοὺς δικανικοὺς λόγους γράφων. Λογοποιὸς δὲ, ὁ λόγους τινὰς καὶ μύθους συντιθείς.

Λόγος Ποιήσεως διαφέρει. Λόγος μὲν γάρ ἐστιν ἡ δίχα μέτρου σύνταξις. Ποίησις δὲ, ἡ σύνθεσις ἡ μέτρῳ κοσμουμένη.

Λυχνοῦχον καὶ Λάμπτηρα φασὶ τὸν νῦν φανόν. Φανὸν δὲ, τὴν λαμπάδα. καὶ οἱ μὲν κωμικοὶ διὰ τοῦ φ, οἱ δὲ τραγικοὶ διὰ τοῦ π Πανόν. Λυχνίον δὲ ἐκάλουν τὴν λυχνίαν.

Λυχνίον Λύχνου διαφέρει. Λυχνίον μὲν γάρ ἐστιν ἡ λυχνία, ὡς Ἀντιφάνης φησὶν ἐν Ἀφροδίτης γοναῖς· Λύχνος δὲ, ὁ φανός. Μένανδρος ἐν Νομοθέταις,

Ἑτέρου λυχνοῦχος, ἑτέρου λήκυθος.

Μ.

Μάχαιρα καὶ Μαχαιρὶς διαφέρει. Μάχαιραν μὲν γὰρ ὁμοίως ἡμῖν λέγουσιν οἱ Ἀττικοί. Μαχαιρίδας δὲ, τὰς τῶν κουρέων.

Μακρολόγος καὶ Πολυλόγος διαφέρει. Μακρολόγος μὲν γάρ ἐστιν ὁ περὶ ὀλίγων πολλὰ λέγων. Πολυλόγος δὲ, ὁ περὶ πολλῶν πολλὰ λέγων.

Μαστὸς Μαζοῦ διαφέρει. Μαστὸς μὲν γάρ ἐστιν ὁ γυναικεῖος· κυρίως δὲ τὸ οἷον μεστὸς εἶναι γάλακτος. Μαζὸς δὲ, ὁ ἀνδρεῖος. ὡς καὶ ὁ ποιητής φησι·

Νευρὰν μὲν μαζῷ πέλασεν, τόξῳ δὲ σίδηρον.

Μάρτυς Ἐλέγχου διαφέρει. Μάρτυς μὲν γὰρ ἐπ' ἀγαθοῦ λαμβάνεται. Ἔλεγχος δὲ, ἐπὶ φαύλου.

Μάχη καὶ Πόλεμος διαφέρει. Μάχη μὲν γάρ ἐστιν ἡ ἐν πολέμοις ἐνέργεια. Πόλεμος δὲ, ὁ χρόνος, καὶ ἡ πρὸς τὴν μάχην παρασκευή.

Μαρτυρία καὶ Ἐκμαρτυρία διαφέρει. Μαρτυρία μὲν γάρ ἐστιν ἡ τῶν ἐπιδημούντων· Ἐκμαρτυρία δὲ, ἡ τῶν ἀποδημούντων, ὡς διασαφεῖ Δείναρχος ἐν τῷ κατὰ Κλεομέδοντος αἰκίας, λέγων, Πολλὰ κἀγαθὰ, ὦ ἄνδρες δικασταὶ, γένοιτο ὑμῖν, καὶ τῷ νομοθετήσαντι ἐξεῖναι τῶν ἀποδημούντων ἐκμαρτυρίας παρέχεσθαι.

Μάγον, τόν τε φαρμακὸν, ὡς Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος· καὶ τὸν περὶ τοὺς θεοὺς ἱερουργὸν, ὡς Ἡρόδοτος.

Μανία μέν ἐστιν ἔκστασις λογισμοῦ. Λύσσα δὲ, ἐπιτεταμένη μανία. Οἶστρος δὲ, μανιώδης ἐπιθυμία.

Μαντικὴ μέν ἐστιν ἡ τέχνη. Μαντεία δὲ, ὁ χρησμός.

Μέτοικος καὶ Ἰσοτελὴς διαφέρει. Μέτοικος μὲν γάρ ἐστιν ὁ ὑπόφορος. Ἰσοτελὴς δὲ, ὁ μὴ τελῶν τι, ἢ ἄρχων.

Μεταβάλλεσθαι καὶ Μεταμορφοῦσθαι καὶ Ἀλλοιοῦσθαι καὶ Ἑτεροιοῦσθαι διαφέρει. Μεταβάλλεσθαι μὲν γάρ ἐστι πάθος κοινόν. καὶ γὰρ καιρῶν γίνονται καὶ πράξεων, καὶ ἀφροδισίων. ὁ γοῦν Εὐριπίδης ἐν Ὀρέστῃ, παριστῶν τὴν δύναμιν τῆς λέξεως, φησί·

—— Μεταβολὴ πάντων γλυκύ.

μεταμορφοῦσθαι δὲ, μεταχαρακτηρισμὸς, καὶ μετατύπωσις σώματος εἰς ἕτερον χαρακτῆρα. Ἀλλοίωσις δὲ, οὐ μόνον μετασχηματισμὸς χαρακτήρων, (ὡς τὸ,

Ἀλλοῖός μοι ξεῖν' ἐφάνης νέον ἠὲ πάροιθεν)

ἀλλὰ καὶ τῆς προτέρας ὑπολήψεως ποίησις ἑτέρα. Ἑτεροίωσις, δ', ὅταν ἀφ' ἑτέρου σώματος εἰς ἕτερον μεταβάλῃ, οἷον Νιόβη εἰς λίθον.

Μεῖραξ καὶ Μειράκιον καὶ Μειρακίσκος διαφέρει. Μειράκιον γὰρ, καὶ Μειρακίσκος, ὁ ἄρσην. Μεῖραξ δὴ, ἡ θήλεια.

Μετρεῖσθαι καὶ Ἵστασθαι διαφέρει. Μετρεῖσθαι μὲν γὰρ ἔλεγον οἱ παλαιοὶ μέτρῳ λαμβάνειν πυρὸν, ἤ τι τοιοῦτον ἐν δάνει, ἵνα ἀποδῷ. Ἡσίοδος,

Εὖ μὲν μετρεῖσθαι παρὰ γείτονος, εὖ δ' ἀποδοῦναι.

οὐχὶ ἀργύριον, ἢ χρυσίον. οὐδέπω γὰρ ἐπὶ νομίσματος· Ἵστασθαι δέ. Ὅμηρος,

Δείδω μὴ τὸ χθιζὸν ὑποστήσονται Ἀχαιοὶ

Χρεῖος.

οἷον, τὸ γενόμενον αὐτοῖς ἐλάττωμα ἐν τῷ μάχεσθαι. ἀντὶ τοῦ χρεολυτήσωσι καὶ ἀντιστήσωνται, ὡσπερεὶ ὠφειλόμενον δάνος. Χρήσασθαι δὲ ἔλεγον ἱμάτιον ἢ σκεῦος.

Μέμψασθαι, Ἐγκαλεῖν καὶ Ψέγειν διαφέρει. Μέμψις μέν ἐστιν ἀμελοῦντος κατηγορία. Ψόγος δ', ἐπονείδιστος.

Μινυρίζειν καὶ Μινύρεσθαι διαφέρει. Μινυρίζειν μὲν γάρ ἐστι τὸ ἠρέμα προσᾴδειν. Μινύρεσθαι δὲ, τὸ θρηνεῖν· τὸ δ' αὐτὸ καὶ Κινύρεσθαι φασίν.

Μισητὴ καὶ Μισήτη διαφέρει παρὰ τοῖς Ἀττικοῖς, ὥς φησι Τρύφων ἐν δευτέρῳ περὶ Ἀττικῆς προσῳδίας. ἐὰν μὲν γὰρ ὀξυτονήσωμεν, σημαίνει τὴν ἀξίαν μίσους· (καθὰ καὶ ἡμεῖς ἐν τῇ συνηθείᾳ προφερόμεθα) ἐὰν δὲ βαρυτονήσωμεν, τὴν καταφερῆ πρὸς συνουσίαν. τὴν δὲ διαφορὰν τῶν σημαινομένων καὶ παρὰ Δωριεῦσι φασὶ φυλάττεσθαι, καὶ παρ' Ἴωσι.

Μισθὸς Μισθώματος διαφέρει. Μισθὸς μέν ἐστιν ὁ δίκαιος μισθός. Μίσθωμα δὲ, τὸ ἐπονείδιστον.

Μνήμη καὶ Μνεία διαφέρει. εἴ τι μὲν γὰρ Μνήμη, τοῦτο οὐ πάντως καὶ Μνεία· εἴ τι δὲ Μνεία, τοῦτο εὐθέως καὶ Μνήμη. ἔστι δὲ Μνήμη, γενικὴ τύπωσις ψυχῆς. Μνεία δὲ, λόγος κατὰ ἀνανέωσιν λεγόμενος. ὁ μὲν γὰρ μιμνησκόμενος, οὐ πάντως καὶ μνήσκεται· ὁ δὲ μεμνημένος, πάντως καὶ μιμνήσκεται. Ἄλλως, Μνήμη ἐστὶν ἡ τῷ μνημονικῷ ἀεὶ συνοῦσα· Μνεία δὲ, προγεγονότος τινὸς ὑπόμνησις, ὥς τε ὁ τούτοις ἐναλλὰξ χρώμενος ἁμαρτήσεται.

Μνημεῖα καὶ Μνήματα διαφέρει. Μνημεῖα μὲν γὰρ ἔλεγον τὰ μνημόσυνα. Μνήματα δὲ, τοὺς τάφους. Μνήμη μὲν γὰρ γίνεται νεκροῦ· Μνεία δὲ, ζῶντος.

Μοχθηρὸς, Μόχθηρος καὶ Πόνηρος διαφέρουσι. Μοχθηρὸς μὲν γὰρ ὀξυτόνως, ὁ τὰ ἤθη πονηρός. λέγουσι δὲ ἁπλῶς τὰ φαῦλα καὶ μοχθηρὰ, Πονηρά. ὡς Θουκυδίδης, Πονηρὰ τὰ πράγματα τῶν Ἀθηναίων, ἀντὶ τοῦ φαῦλα. Μόχθηρος δὲ, ὁ ἐπίπονος, ὡς καὶ Πόνηρος.

Μύριοι, ἐπὶ ἀριθμοῦ. Μυρίοι δὲ, οἱ πολλοί.

Μῦθος καὶ Ἱστορία διαφέρει. Ἱστορία μὲν γὰρ γεγονότα πράγματα περιέχει, ὁ δὲ Μῦθος, διαπεπλασμένα καὶ ψευδῆ. ὁ γοῦν λέγων, Εὖ πεποίηται ἡ περὶ τὸν Κύκλωπα ἱστορία, ἢ ἄλλό τι τοιοῦτον, οὐκ ἄγαν ὀρθοεπεῖ. μᾶλλον γὰρ ἁρμόζει λέγειν, Εὖ πεποίηται ὁ περὶ τὸν Κύκλωπα μῦθος.

Ν.

Ναὸς καὶ Σηκὸς διαφέρει. ὁ μὲν γὰρ Ναὸς, ἔστι θεῶν· ὁ δὲ Σηκὸς, ἡρώων.

Ναύκληροι καὶ Ναύκραροι διαφέρει. Ναύκληροι μὲν γάρ εἰσιν οἱ ναῦς κεκτημένοι· Ναύκραροι δὲ, οἱ εἰσπραττόμενοι τὰ δημόσια κτήματα. καὶ Ναυκράρια, οἱ τόποι ἐν οἷς ἀνέκειντο τὰ κτήματα. ἐλέγοντο δὲ ὁμοίως Ναύκληροι καὶ οἱ μισθωτοὶ τῶν συνοικιῶν.

Ναυαγία μέν ἐστιν αὐτὴ ἡ τῆς νηὸς διαφθορά. Ναυάγιον δὲ, τὸ ἐξ αὐτῆς ἐκβρασθέν.

Νεαρὸν Νεαλοῦς καὶ Προσφάτου διαφέρει. Νεαρὸν μὲν γάρ ἐστι τὸ νεωστὶ κομισθὲν ὕδωρ· ἔγκειται γὰρ τῇ λέξει τὸ ἀρύειν.

Πρόσφατον δὲ τὸ κρέας· ἔγκειται γὰρ ἀπὸ τοῦ φάσαι, ὅ ἐστι τὸ φονεῦσαι· ὅθεν καὶ τὸ φάσγανον. Νεαλὲς δὲ, τὸ νεωστὶ ἑαλωκὸς, οἷον ἰχθύς. δύναται καὶ νεωστὶ ἁλὶ πεπασμένον.

Νηρεΐδες τῶν τοῦ Νηρέως θυγατέρων διαφέρει. Δίδυμος ὁμοίως ἐν ὑπομνήματι Βακχυλίδου ἐπινικίων. φησὶ γὰρ κατὰ λέξιν. Εἰσὶ τοίνυν οἵ φασι διαφέρειν τὰς Νηρεΐδας τῶν τοῦ Νηρέως θυγατέρων. καὶ τὰς μὲν ἐκ Δωρίδος, γνησίας αὐτοῦ θυγατέρας νομίζεσθαι· τὰς δὲ ἐξ ἄλλων, ἤδη κοινότερον Νηρεΐδας καλεῖσθαι· καὶ τὰς μὴ γνησίας, καὶ τὸν ἀριθμὸν, πλείους δὲ τὰς ἄλλας. ταῦτα φησὶ Μνασέας ἐν τοῖς περὶ τῆς Εὐρώπης τὸν τρόπον τοῦτον. εἶτα ἐκτίθεται διὰ μακρῶν τὴν λέξιν, καὶ ἐπιφέρει, πιθανῶς τὰς μὲν ἐκ μιᾶς τῆς Δωρίδος γνησιωτέρας τῶν ἄλλων οὔσας, Νηρέως θυγατέρας λέγεσθαι· τὰς δὲ συμμίκτους αὐτῷ, μόνον Νηρεΐδας.

Νῆες Πλοίων διαφέρει. Δίδυμος ἐν δεκάτῳ ῥητορικῶν ὑπομνημάτων φησὶν οὕτως, ὅτι διαφέρουσιν αἱ Νῆες τῶν πλοίων. τὰ μὲν γάρ ἐστι στρογγύλα, αἱ δὲ, κωπήρεις καὶ στρατιώτιδες. Ἀριστοτέλης δὲ ἱστορεῖ ἐν Δικαιώμασι τῶν πολέμων οὕτως, Ἀλέξανδρος ὁ Μολοττὸς ὑπὸ ταυτὸν χρόνον, Ταραντίνων αὐτὸν μεταπεμψαμένων ἐπὶ τὸν πρὸς τοὺς βαρβάρους πόλεμον, ἐξέπλευσε ναυσὶ μὲν πεντεκαίδεκα, πλοίοις δὲ συχνοῖς ἱππαγωγοῖς καὶ στρατηγικοῖς.

Νοῦς μέν ἐστιν ἀπόκρυφος λογισμός. Φρένες δὲ, αἱ ἀγαθαὶ διάνοιαι.

Νῦν καὶ Νυνὶ διαφέρει, φησὶ κατά τινας Ἡρακλείδης ἐν πρώτῃ περὶ καθολικῆς προσῳδίας. τὸ μὲν γὰρ Νῦν χρονικὸν ἐπίῤῥημα τάσσεται ἐπὶ τῶν τριῶν χρόνων, ἐνεστῶτος, παρῳχημένου, καὶ μέλλοντος, οἷον, ὅτι ἀγὼν νῦν ἐστι, νῦν ἔσται. τὸ δὲ Νυνὶ, ἐπὶ μόνου ἐνεστῶτος.

Νωθέστερος μὲν, ὁ βλακώδης. Νωχελέστερος δὲ, ὁ ἀσθενέστερος.

Ξ.

Ξόανον, Βρέτας, Ἄγαλμα διαφέρει. Ξόανον μὲν γάρ ἐστι τὸ ἐξεσμένον λίθινον, ἢ ἐλεφάντινον· Βρέτας δὲ, τῷ βροτῷ ὅμοιον, ἤτοι χαλκοῦν, ἢ ἐκ τῆς ἐμφεροῦς ὕλης πεποιημένον. Ἄγαλμα δὲ, τὸ πώρινον, ἢ ἔκ τινος ἑτέρου λίθου κατεσκευασμένον.

Ξενίζειν μὲν οὐ μόνον τὸ καταδέχεσθαι ξένον, ἀλλὰ καὶ τὸ ξένως διαλέγεσθαι. ὡς Δημοσθένης ἐν τῷ πρὸς Βοιωτόν.

Ξυστὸς, τό, τε ἀκόντιον, ὡς παρ' Ἡροδότῳ ἐν τῷ πρώτῳ· καὶ τὸ οἰκοδόμημα, ὡς παρὰ Ξενοφῶντι ἐν Οἰκονομικῷ.

Ο.

Ὀβελὸς Ὀβολοῦ διαφέρει. Ὀβελὸς μὲν γάρ ἐστιν εἰς ὃν διαπείρονται τὰ κρέα μέλλοντα ὀπτᾶσθαι· Ὀβολὸς δὲ, μέρος δραχμῆς.

Ὅδε καὶ Ὁδὶ διαφέρει. Ὅδε μὲν γὰρ, ἀναφορικῶς καὶ δεικτικῶς. Ὁδὶ δὲ, δεικτικῶς μόνον κατ' ἐπέκτασιν.

Οἰκῆας καὶ Οἰκείους διαφέρειν φασίν. Οἰκεῖοι μὲν γὰρ, καὶ οἱ κατ' ἐπιγαμίαν προσήκοντες. Οἰκῆες δ', ἅπαντες καὶ οἱ ἐν τῇ οἰκίᾳ τυγχάνοντες τῇ αὐτῇ, εἴτε οἰκέται, εἴτε ἐλεύθεροι. Φησὶ γοῦν Ἕκτωρ,

——— ὄφρα ἴδωμεν
Οἰκῆας, ἄλοχόν τε φίλην, καὶ νήπιον υἱόν.

καὶ,

Ἐξ ὕπνου γοόωσα φίλους οἰκῆας ἐγείρει.

καὶ ἐν Ὀδυσσείᾳ,

Κήδετο οἰκήων οὓς κτήσατο δῖος Ὀδυσσεύς.

Οἰκίζεται καὶ Συνοικίζεται διαφέρει. Οἰκίζεται μὲν γὰρ πόλις ὑπὸ τῆς πρώτης τῶν συνοικητόρων ἀθροίσεως καὶ καθιδρύσεως. Συνοικίζεται δὲ, ἡ ἐκ πολλῶν πόλεων εἰς μίαν πόλιν συναγομένη, ὑπὲρ τοῦ πλείονα δύναμιν σχεῖν. Διοικίζεται δὲ, ἡ ἐκ μιᾶς πόλεως μεγέθει ἰσχυούσης εἰς πολλὰ καταδιαιρουμένη ὑπὸ τῶν ἐχθρῶν, ἵνα ἀσθενὴς γένηται. ὡς οἱ Λακεδαιμόνιοι τὴν ἐν Ἀρκαδίᾳ Μεγάλην πόλιν διῴκισαν.

Οἰκότριψ καὶ Οἰκέτης διαφέρει. Οἰκότριψ μὲν γὰρ, ὁ ἐν τῇ οἰκίᾳ διατρεφόμενος, ὃν ἡμεῖς θρεπτὸν καλοῦμεν. Οἰκέτης δὲ, ὁ δοῦλος ὁ ὠνητός. παρὰ δὲ Σόλωνι ἐν τοῖς ἄξοσιν Οἰκεὺς κέκληται ὁ οἰκότριψ.

Οἶμος Οἴμης διαφέρει. Οἶμος μὲν γάρ ἐστιν ἀρσενικῶς, ἡ ὁδός. Οἴμη δὲ, ἡ ᾠδή.

Οἶκτος καὶ οἰκτισμὸς διαφέρει. Οἶκτος μὲν γάρ ἐστιν οἰκτιζομένου ἔλεος. Οἰκτισμὸς δὲ, ὁ λόγος τοῦ οἰκτείροντος.

Οἴνη καὶ Οἰνάνθη διαφέρει. Οἴνη μὲν γὰρ, ἡ ἄμπελος. Οἰνάνθη δὲ, ἡ πρώτη τῶν βοτρύων ἐξάνθησις. Οἰνάρια δὲ, τὰ φύλλα.

Οἴκαδε τοῦ Εἰς οἶκον διαφέρει. Οἴκαδε μὲν γὰρ, τὸ εἰς τὴν ἰδίαν οἰκίαν βαδίζειν. Εἰς οἶκον δὲ, καὶ ἐφ' ἕτερον.

Οἶκος, Οἰκία, Συνοικία, Οἰκίσκος, καὶ Δῶμα διαφέρουσιν. Οἶκος μὲν λέγεται ἡ πᾶσα οὐσία. Οἰκία δὲ, ἡ ὑπὸ ἑνὸς ἢ ὑπὸ δευτέρου κατοικουμένη. Συνοικία δὲ, ἡ πολλοῖς, καὶ μισθουμένη. Οἴκημα δὲ, τὸ τέγος, ἢ τὸ δεσμωτήριον. Οἰκίσκος, τὸ μικρὸν δωμάτιον· Δῶμα δὲ, ὁ λεγόμενος κοιτών.

Ὄλβιος καὶ Εὐτυχὴς διαφέρει. Ὄλβιος μὲν γάρ ἐστιν ὁ τελείαν τὴν εὐδαιμονίαν ἔχων· Εὐτυχὴς δὲ, ὁ ζῶν ἡδέως καὶ ἀλύπως.

Ὀλίγον καὶ Μικρὸν διαφέρει. τὸ μὲν γὰρ Ὀλίγον, ἐπ' ἀριθμοῦ· τὸ δὲ Μικρὸν, ἐπὶ μεγέθους τάσσεται. Ἀριστόνικος ἐν ὑπομνήματι, ἐκάλεσ' ἐπὶ στοιχείου, ὀλίγην νησῖδα Καλυψοῦς, φασὶ δὲ οὕτω, ὀλίγην μικρὰν ὑπαλλακτικῶς. τὸ μὲν γοῦν Ὀλίγον, ἐπ' ἀριθμοῦ· τὸ δὲ Μικρὸν, ἐπὶ μεγέθους τάσσεται, καὶ Ὅμηρος,

Δίφρον ἀεικέλιον παραθεὶς, ὀλίγην τε τράπεζαν.

τὴν μικράν.

Ὅλμος καὶ Ὅρμος διαφέρει. Ὅλμος μὲν γάρ ἐστι μυρεψικὸν σκεῦος, εἰς ὃ κόπτονται τὰ εἴδη τὰ μυρεψικά. Ὅρμος δέ ἐστι λιμήν.

Ὄρθρος καὶ Πρωῒ διαφέρει. Ὄρθρος μὲν γὰρ, ἡ πρὸ ἀνατολῆς ἡλίου ὥρα, καθ' ἣν ἀναστάντες ἐξ ὕπνου ὀρθοὶ γινόμεθα· Πρωῒ δὲ, ἡ πρὸ τοῦ καθήκοντος καιροῦ. Ὅμηρος,

Πρωῒ δ' ὑπ' ἠοῖοι σὺν τεύχεσι θωρηχθέντες.

καὶ Ἡσίοδος, τελευτῆσαι τινὰ Πρωῒ μάλ' ἠΐθεον, τοῦτ' ἔστι, πρόωρον.

Ὁρᾶν καὶ Ὑπερορᾶν διαφέρει. Ὁρᾶν μὲν γάρ ἐστι, τὸ θεωρεῖν. Ὑπερορᾶν δὲ, τὸ καταφρονεῖν.

Ὀρνιθευτὴς καὶ Ὀρνιθοσκόπος διαφέρει. Ὀρνιθευτὴς μὲν γάρ ἐστιν ὁ θηρεύων ὄρνιθας. Ὀρνιθοσκόπος δὲ, ὁ οἰωνοσκόπος.

Ὀροφὴ καὶ Τέγος διαφέρει. Ὀροφὴ μὲν γάρ ἐστιν ἡ στέγη. Τέγος δὲ, τὸ δῶμα.

Ὅσιον καὶ Ἱερὸν διαφέρει. Ὅσια μὲν γάρ ἐστι τὰ ἰδιωτικὰ ὧν ἐφίεται καὶ ἔξεστι προσάψασθαι· Ἱερὰ δὲ, τὰ τῶν θεῶν, ὧν οὐκ ἔξεστι προσάψασθαι. Δημοσθένης ἐν τῷ κατὰ Τιμοκράτους λέγει. Ὥστε τίθησι τοῦτον τὸν νόμον, δι' οὗ τῶν μὲν ἱερῶν χρημάτων τοὺς θεοὺς, τῶν ὁσίων δὲ τὴν πόλιν ὑποστερεῖ.

Ὅτι καὶ Διότι διαφέρει. τὸ μὲν γὰρ Ὅτι ὁτὲ μὲν αἰτίαν δηλοῖ, ὁτὲ δὲ βεβαίωσιν· τὸ δὲ Διότι αἰτίαν δηλοῖ. αὐτίκα γοῦν Ὅτι μὲν ἐκλείπει ἡ σελήνη, πάντες ἴσμεν. Διότι δὲ, οὐκέτι, ἀλλὰ μόνοι οἱ ἔμπειροι.

Οὔκουν παροξυτόνως μὲν, ἀποφαντικὸν, ἴσον τῷ οὐχιοῦν. οἷον, Οὔκουν ἀπιστεῖν. περισπωμένως δὲ, συλλογιστικός ἐστι σύνδεσμος, καὶ σημαίνει κατάφασιν.

Οὐδὲν διὰ τοῦ δ, καὶ Οὐθὲν διὰ τοῦ θ διαφέρει. Οὐδὲν μὲν γὰρ τὸ ἐν τῷ καθόλου, ὡς φαμὲν, Οὐδὲν ἐν κόσμῳ κενόν· πᾶσα γὰρ ἡ τοῦ κενοῦ φύσις βαστάζεται. Οὐθὲν δὲ ἀναλυθὲν εἰς τὸ ἴδιον ἀντίστοιχον, σημαίνει τὴν τοῦ ἑνὸς ἄρσιν, καὶ ἐπιφορὰν ἑτέρας ἀρχῆς· Οὐθ' ἓν, οὔτε δύο. τὸ δὲ διὰ τοῦ δ, ἀπαρτίζει. διὸ καὶ ὁ ποιητὴς φησὶν,

Οὐδὲν ἀκιδνότερον γαῖα τρέφει ἀνθρώποιο.

ὁ οὖν ἐναλλάσσων ἁμαρτάνει. διὸ καὶ Ζηνόδοτον εὐθύνουσι, γράφοντα,

Οὐθὲν ἀκιδνότερον.

Οὕνεκα καὶ Εἵνεκα διαφέρει. Οὕνεκα μὲν σημαίνει τὸ ὅτι· Εἵνεκα δὲ, χάριν. Ὅμηρος διαστέλλει,

Οὕνεκα τὸν Χρύσην ἠτίμησ' ἀρητῆρα.

ἀντὶ τοῦ ὅτι.

Εἵνεκα ῥιγεδανῆς Ἑλένης.

Ἥμαρτεν οὖν ὁ Καλλίμαχος, εἰπὼν,

Εἵνεκεν οὐχ ἓν ἄεισμα.

ὅπερ ἄτοπον· ἔδει γὰρ εἰπεῖν Οὕνεκα, ἵνα γένηται, ὅτι οὐχ ἓν ἄεισμα.

Οὗτος καὶ Οὑτοσὶ διαφέρει. τὸ μὲν γὰρ Οὑτοσὶ, δεικτικὸν μόνον· τὸ δὲ Οὗτος δεικτικὸν καὶ ἀναφορικόν. δεικτικὸν μὲν,

Οὗτός τοι Διομήδης.

ἀναφορικὸν δὲ,

Οὗτος μὲν πανάριστος, ὃς αὐτῷ πάντα νοήσει.

ὁ αὐτὸς λόγος καὶ ἐπὶ Τοῦτον καὶ Τουτονί.

Οὐλὴ καὶ Ὠτειλὴ διαφέρει. Οὐλὴ μέν ἐστιν ἡ ὑγιασμένη σὰρξ ἐκ παλαιοῦ τραύματος. Ὠτειλὴ δὲ, τὸ πρόσφατον τραῦμα, παρὰ τὸ οὐτᾶσθαι. καὶ Ὅμηρος τὴν διαφορὰν τετήρηκεν ἐπὶ μὲν τῆς Οὐλῆς εἰπὼν,

—— τὴν ποτέ μιν σῦς ἤλασε λευκῷ ὀδόντι,

ἐπὶ δὲ τῆς Ὠτειλῆς,

Αὐτίκα δ' ἔῤῥεεν αἷμα κατ' οὐταμένην ὠτειλήν.

Οὖρος καὶ Οὐρὸς διαφέρει. Οὖρος μὲν, ὁ ἄνεμος. Οὐρὸς δὲ, ὁ τόπος, ἢ τὸ νεώριον,

Οὐρούς τ' ἐξεκάθαιρον.

Ὄφλειν καὶ Ὀφείλειν διαφέρει. Ἀπολλωνίδης ὁ Νικαεὺς ἐν ὑπομνήματι περὶ παραπρεσβείας Δημοσθένους. Ὄφλει μὲν γάρ τις, (φησὶν) ἐπὶ καταδίκῃ· Ὀφείλει δέ τις, ὡς ἡμεῖς ἐκδεχόμεθα.

Ὄφλημα καὶ Χρέος διαφέρει. Ὄφλημα μὲν γὰρ καὶ Ὀφείλημα, τὸ ἐκ καταδίκης τῷ δημοσίῳ ὀφειλόμενον. Χρέος δὲ, τὸ ἰδιωτικὸν δάνειον.

Ὄχθαι καὶ Ὀχθοὶ διαφέρουσι. Ὄχθαι μὲν γάρ εἰσι ποταμῶν χείλη. Ὀχθοὶ δὲ, ἐπάρματα γῆς.

Ὀψὲ καὶ Ἑσπέρα διαφέρει. Ἑσπέρα μὲν γάρ ἐστιν ἡ μετὰ τὴν δύσιν τοῦ ἡλίου ὥρα· Ὀψὲ δὲ, ἡ μετὰ πολὺ τῆς δύσεως, καὶ καθόλου μετὰ πολὺν χρόνον. ὡς Ὅμηρος,

Ὀψὲ δὲ δὴ μετέειπε.

καὶ, —— ὀψαρότης πρωτηρότῃ ἰσοφαρίζει·

ὀψαρότης γὰρ, ὁ μετὰ πολὺ τοῦ προσήκοντος χρόνου ἀροτριῶν.

Π.

Παρέχειν καὶ Παρέχεσθαι διαφέρει. Παρέχειν μὲν γὰρ λέγεται τὰ διὰ χειρὸς διδόμενα, οἷον ἐσθήματα, ἢ ἐκπώματα· τὸ δὲ Παρέχεσθαι λέγεται ἐπὶ τῶν τῆς ψυχῆς διαθέσεων, οἷον προθυμίαν, εὔνοιαν. Θουκυδίδης, καὶ πᾶν τὸ πρόθυμον παρεχόμενοι. Δημοσθένης ἐν Φιλιππικοῖς, τὴν αὐτὴν παρεχόμεθα προθυμίαν.

Παρειαὶ καὶ Παρεῖαι διαφέρουσι. Παρειαὶ μὲν γὰρ ὀξυτόνως, αἱ τοῦ ἀνθρώπου· Παρεῖαι δὲ προπερισπωμένως, ὄφεις τινὲς μετέωρα τὰ παρεῖα ἔχοντες·

——— ὡς παρείας ὢν ὄφις.

Πάσασθαι, βραχέος μὲν ὄντος τοῦ α, τὸ γεύσασθαι δηλοῖ· ἐν ἐκτάσει δὲ τούτου, τὸ κτήσασθαι.

Παραβολὴ καὶ Παράδειγμα διαφέρει. Παραβολὴ μὲν γάρ ἐστιν ἡ οἷά τε γενέσθαι ἐπὶ παραδείγματος. οἷον,

Ὡς δ' ὅτε τίς τε δράκοντα ἰδών.

Παράδειγμα δὲ, γεγονότος πράγματος ἀντιπαράθεσις·

Οἶνος καὶ Κένταυρον ἀπώλεσεν.

Πάλτον καὶ Πέλτη διαφέρει. Πάλτον μὲν γάρ ἐστι τὸ δόρυ· Πέλτη δὲ, ἀσπὶς ἴτυν οὐκ ἔχουσα.

Παρακέκρουσται καὶ Παρακέκρουται διαφέρει. τὸ μὲν γὰρ σὺν τῷ σ, ἐνεργητικόν ἐστι, καὶ σημαίνει τὸ ἐξηπάτηκε· τὸ δὲ χωρὶς τοῦ σ, παθητικὸν, καὶ σημαίνει τὸ ἐξηπάτηται.

Παῖς, Ἀντίπαις, καὶ Βούπαις διαφέρει. Παῖς μὲν γάρ ἐστιν ὁ ἐν τῇ παιδικῇ ἡλικίᾳ. Ἀντίπαις δὲ, ὁ ἐκβεβηκὼς τοῦ παιδὸς τὴν ἡλικίαν, καὶ ἤδη πρόσηβος. Βούπαις δὲ, ὁ μέγας παῖς.

Παιδίσκη καὶ Θεράπαινα διαφέρει. Παιδίσκη μὲν γάρ ἐστι πᾶσα ἡ τὴν παιδικὴν ἔχουσα ἡλικίαν, ὡς καὶ Παιδίσκος· Θεράπαινα δὲ, ἡ δούλη.

Παίδευσις καὶ Παιδεία διαφέρει, ὥς φησι Πλάτων ἐν ὅροις. Παιδεία μὲν γάρ ἐστι δύναμις θεραπευτικὴ ψυχῆς· Παίδευσις δὲ, παιδείας καὶ ἀρετῆς παράδοσις, καὶ ἐκ παιδὸς ἀρετὴ ἐπ' ἀρετὴν ὁδηγοῦσα.

Παιδίσκη καὶ Παῖς διαφέρει. Παιδίσκη μὲν γὰρ, ἡ ἐλευθέρα παρ' Ἀττικοῖς· Παῖς δὲ, ἡ δούλη. Μένανδρος ἐν Δακτυλίῳ,

Ἐπὶ τοῦδε δ' αὔθ' οὕτως ὁ κακοδαίμων ἔφη,
Ὡς οὐκ ἂν ἐκδοίη θυγατέρος ἄσμενος,
Καὶ ταῦτα, πεντήκοντα παιδίσκας ἔχων.

Παρθενία καὶ Σωφροσύνη διαφέρει, καὶ Παρθένος Σώφρονος. καθὸ ἡ μὲν Παρθένος σώφρων ἐστὶ πάντως· ἡ δὲ Σώφρων οὐ πάντως παρθένος.

Πάσχειν καὶ Συμπάσχειν διαφέρει, ὡς Πάσχων Συμπάσχοντος. ὁ μὲν γὰρ Πάσχων ἀλγεῖ· ὁ δὲ Συμπάσχων λυπεῖται μὲν ἐπὶ τῷ τοῦ πάσχοντος πάθει. οὐ μέν τοι ἀλγεῖ καθάπερ ὁ πάσχων· οἷον, πυρέττει τὶς τῶν φίλων σφόδρα, καὶ συμπάσχομεν τούτῳ πυρέττοντι, οὐ μὲν δὴ καὶ πυρέττομεν.

Πάτρια Πατρῴων καὶ Πατρικῶν διαφέρει. Πατρῷα μὲν γὰρ, τὰ ἐκ πατέρων εἰς υἱοὺς χωροῦντα· Πατρικοὶ δὲ ἢ φίλοι ἢ ξένοι. Πάτρια δὲ, τὰ τῆς πόλεως ἔθη.

Παιδίσκη καὶ Παιδισκάριον διαφέρει. Παιδίσκην μὲν γὰρ λέγομεν τὴν ἐλευθέραν. Παιδισκάριον δὲ, τὴν δούλην.

Παῖδα, οὐ μόνον τὸν υἱὸν, ἀλλὰ καὶ τὸν δοῦλον, ὡς Δημοσθένης ἐν τῷ πρὸς Πανταίνετον.

Πελαστὴς καὶ Πενεστὴς διαφέρει. πελαστὴς μὲν γὰρ, ὁ πρόσφυξ. Πενεστὴς δὲ παρὰ Θεσσαλοῖς, ὁ κατὰ πόλεμον δορηθεὶς, ὡς παρὰ Λάκωσιν οἱ Εἵλωτες.

Πένης καὶ Πτωχὸς διαφέρει. Πένης μὲν γὰρ, ὁ ἀπὸ τοῦ ἐργάζεσθαι καὶ πονεῖν πορίζόμενος τὸν βίον· Πτωχὸς δὲ, ὁ ἐπαίτης, ὁ τοῦ ἔχειν ἐκπεπτωκώς. ἢ ἀπὸ τοῦ πτώσσειν·

Πτωχὸν ἀνιηρὸν δαιτῶν ἀπολυμαντῆρα.

καὶ ἐτυμολογῶν φησὶν,

——ἀλλὰ πτώσσων κατὰ δῆμον,
Βούλεται αἰτίζων βόσκειν ἣν γαστέρ' ἄναλτον.

Περιμάξαι καὶ Ἐκμάξαι, τὸ τοὺς οἰομένους πεφαρμάχθαι, δι' ἐπῳδῶν καὶ καθαρμῶν προσποιεῖσθαι ἀπολύειν.

Πειραστὴς καὶ Πειρατὴς διαφέρει. Πειραστὴς μὲν γὰρ, ὁ πειράζων. Πειρατὴς δὲ, ὁ θαλάσσιος λῃστής. καὶ Νεῖλος, Τὰς διαλυθείσας σανίδας καταλιπόντες τοῖς πειραταῖς.

Πεῖρα καὶ Πήρα διαφέρει. Πεῖρα μὲν γάρ ἐστιν ἡ ἐπιστήμη τε καὶ ἐμπειρία. Πήρα δὲ, τὸ ἰατρικὸν ἐγχειρίδιον, καὶ δέρμα τὶ ἀρτοφόρον, ὃ ἐπὶ τῶν ὤμων φέρουσιν οἱ ποιμένες.

Πηδάλιον καὶ Πληθρίον διαφέρει. Πηδάλιον μὲν γὰρ, νεώς. Πληθρίον δὲ, σχεδίας.

Πῇ καὶ Ποῖ, καὶ Ποῦ διαφέρει. τὸ μὲν γὰρ πῇ καὶ Ποῖ, εἰς τόπον· οἷον,

Πῇ ἔβη Ἀνδρομάχη ;

τὸ δὲ ποῦ, ἐν τόπῳ· οἷον,

Ποῦ νῦν δεῦρο κιὼν λίπες Ἕκτορα ;

ὥσθ' ἁμαρτάνουσιν οἱ λέγοντες, Ποῦ ἀπέρχῃ ; δέον εἰπεῖν, Πῇ ἀπέρχῃ ;

Πλεῖν τοῦ Ἀποπλεῖν, καὶ Παραπλεῖν, καὶ Περιπλεῖν, διαφέρει. Πλεῖν μὲν γάρ ἐστι, τὸ κατ' εὐθὺ πλέειν. Ἀποπλεῖν δὲ, τὸ ἐκ τόπου τινὸς ἀπαίρειν. Παραπλεῖν δὲ, τὸ τόπον τινὰ διὰ πλοίου διέρχεσθαι. Περιπλεῖν δὲ, τὸ περὶ σκάφος ἀναστρέφεσθαι περὶ τὸν αὐτὸν τόπον.

Πλούσιος, Εὐπόρου, Ἀφνειοῦ, Ὀλβίου, καὶ Εὐτυχοῦς διαφέρει. Πλούσιος μὲν γὰρ ὁ πολυούσιος, ὁ πολλὴν ἔχων οὐσίαν· Εὔπορος δὲ, ὁ πρὸς τὰς ἐπιβαλλούσας τύχας ἀνενδεής· Ἀφνειὸς δὲ, ὁ ἀπ' ἐνιαυτοῦ τὴν τροφὴν συλλέγων· (ἔνος γὰρ, ὁ ἐνιαυτός.) Ὄλβιος δὲ, ὁ τελείαν τὴν εὐδαιμονίαν ἔχων, οἷον, ὁλόβιος. Εὐτυχὴς δὲ, ὁ ζῶν ἡδέως καὶ ἀλύπως.

Πλῆμαι καὶ Πλῆμναι διαφέρουσι. Πλῆμαι μὲν γὰρ, αἱ πλημμυρίδες τῶν ποταμῶν. Πλῆμναι δὲ, αἱ τῶν τροχῶν σύριγγες.

Πλῆθος καὶ Ὄχλος διαφέρει. πλῆθος μὲν γάρ ἐστι σύστημά τινων· Ὄχλος δὲ, κυρίως ἡ ὄχλησις.

Πλούσιοι Εὐπόρων διαφέρουσιν. οἱ μὲν γὰρ Πλούσιοι οὐ πάντως εὐποροῦνται, ἀλλὰ ἔκ τινων περιστάσεων καὶ ἀποροῦνται ποτὲ χρημάτων, ἢ ἄλλου τινός· οἱ δὲ Εὔποροι κἂν μὴ πλουτῶσιν, ὧν δέονται ἔχουσιν. τινὲς δὲ Εὐπορίαν μὲν τὸν μέτριον πλοῦτον ἡγοῦνται· Πλοῦτον δὲ, τὴν μεγάλην εὐπορίαν.

Πολεμικὸς καὶ Αἰχμητὴς διαφέρει. Πολεμικὸς μὲν γάρ ἐστιν ὁ ἐμπείρως πολεμῶν. Αἰχμητὴς δὲ, ὁ ἐμπείρως τοῖς κατὰ πόλεμον ὅπλοις χρώμενος.

Πόμα καὶ Πῶμα διχῶς λέγουσι. τὸ μὲν ἁπλοῦν, διὰ τοῦ ο μικροῦ· ἐν δὲ συνθέτοις, μόνον διὰ τοῦ ω μεγάλου· οἷον γαλακτοποτεῖν, καὶ ὑδροποτεῖν.

Πομπὴ καὶ Πομπεία διαφέρει. Πομπὴ μὲν γὰρ, ἣν τοῖς θεοῖς πέμπουσι· Πομπεία δὲ, ἡ λοιδορία. Δημοσθένης, Τῆς δὲ πομπείας ταύτης ὕστερον.

Παῤῥησία καὶ Παρουσία διαφέρει. Παῤῥησία μὲν γὰρ, ἡ διὰ λόγων πρός τινα οἰκείωσις· Παρουσία δὲ, ἡ ἐπέλευσις.

Πολίτης καὶ Πατριώτης διαφέρει. Πολίτης μὲν γὰρ ὁ ἐκ τῆς αὐτῆς πόλεως, ἐλεύθερος ἐλευθέρῳ. Πατριώτης δὲ, ὁ ἐκ τῆς αὐτῆς χώρας, δοῦλος δούλῳ. ἡ γὰρ Πατρὶς καὶ ἐπὶ τῆς χώρας τάττεται. ὡς τὸ,

Τοῖσι δ' ἄφαρ πόλεμος γλυκίων γένετ' ἠὲ νέεσθαι
Ἐν νηυσὶ γλαφυρῇσι φίλην ἐς πατρίδα γαῖαν.

οὐ γὰρ πάντες ἐκ μιᾶς ἦσαν πατρίδος, ἀλλ' ἐκ μιᾶς χώρας.

Πόλις καὶ Ἄστυ διαφέρει. Πόλις μὲν γὰρ, καὶ ὁ τόπος καὶ οἱ κατοικοῦντες, ἤγουν τὸ συναμφότερον. Ἄστυ δὲ, μόνον ὁ τόπος.

Φράζεο νῦν ὅππως κε πόλιν καὶ ἄστυ σαώσῃς.

Ποιεῖν τοῦ Περιποιεῖν διαφέρει. Ποιεῖν μὲν γάρ ἐστι τὸ κατασκευάζειν τι. Περιποιεῖν δὲ, τὸ περικτᾶσθαι, ἢ κοσμεῖν.

Πόνηρον βαρυτονούμενον, ὡς σόλοικον, καὶ Πονηρὸν ὀξυτονούμε-

παρὰ μὲν τὸ κατοικεῖν, ἡ Κατοίκησις. παρὰ δὲ τὸ κατοικίζειν, ἡ Κατοίκισις.

Καταβολὴ καὶ Εἰσβολὴ διαφέρει. Καταβολὴ μὲν γὰρ, ἡ ἔκτισις τοῦ εἰσφερομένου ἀργυρίου. Εἰσβολὴ δὲ, περίοδος τοῦ πυρετοῦ.

Κάταγμα καὶ Κάταγμα διαφέρει. Κάταγμα μὲν, ἐκτεταμένως, τὸ κατεαγὸς καὶ συντετριμμένον. Κάταγμα δὲ, βραχέως, τὸ τοῦ ἐρίου ἕλκυσμα.

Καταχύματα καὶ Καταχύσματα διαφέρει. Καταχύματα μὲν γὰρ χωρὶς τοῦ σ, τὰ καταχεόμενα ὕδατα, ἐπὶ λουτρῶνος, καὶ τῶν ἄλλων ὁμοίων. Καταχύσματα δὲ σὺν τῷ σ, αἱ ἰσχάδες καὶ τὰ ἄλλα τραγήματα, ἃ τῶν νεωνήτων δούλων κατέχευον. Ἀριστοφάνης,

Εἶτ' οὐχὶ δέξῃ δὴ τὰ Καταχύσματα;

καὶ Δημοσθένης ἐν τῷ κατὰ Στεφάνου ψευδομαρτυριῶν, Ἀλλ' αὐτὸς μὲν οὐκ ὤκνησε τὴν δέσποιναν ἂν γῆμαι, ἢ τὰ Καταχύσματα αὐτοῦ κατέχευε τότε, ἡνίκα ἐωνήθη.

Κάδος καὶ Καδίσκος διαφέρει. Κάδος μὲν λέγεται, ᾧ ἐκ τοῦ φρέατος ἀνιμῶσι τὸ ὕδωρ· Καδίσκος δὲ, ἀγγεῖον εἰς ὃ τὰς ψήφους ἐμβάλλουσι.

Καθάρσια καὶ Καθάρματα διαφέρει. Καθάρσια μὲν γὰρ λέγονται τὰ ἱερὰ, καὶ τὰ ἄλλα οἷς καθαίρονται. Καθάρματα δὲ, τὰ μετὰ τὸ καθαρθῆναι ἀποῤῥιπτούμενα.

Κανθαρίζειν καὶ Τονθορίζειν διαφέρει. Κανθαρίζειν μὲν γὰρ λέγουσιν οἱ Ἀττικοὶ τὸ τρέμειν· Τονθορίζειν δὲ, τὸ ψιθυρίζειν καὶ γογγύζειν.

Καιρὸς καὶ Χρόνος διαφέρει. Καιρὸς μὲν γάρ ἐστι μέρος χρόνου, οἷον μεμετρημένων ἡμερῶν σύστημα. Χρόνος δὲ, Πολλῶν καιρῶν περιοχὴ καὶ σύλληψις. Ἄλλως, Ὁ μὲν Καιρὸς δηλοῖ ποιότητα χρόνου, οἷον, ὅτε πόλεμος ἦν. Χρόνος δὲ, ποσότητα, οἷον, πρὸ δέκα χρόνων, ἢ μετὰ δέκα ἔτη.

Κάλλαια καὶ Κάλλη διαφέρει. Κάλλαια μὲν γὰρ, οἱ τῶν ἀλεκτρυόνων πώγωνες. Κάλλη δὲ, τὰ ἄνθη τῶν βαμμάτων.

Κάθησον τοῦ Κάθισον διαφέρει. Κάθησον μὲν γὰρ ἐροῦμεν αὐτῷ τινι περὶ ἑαυτοῦ κελεύοντες. Κάθισον δὲ, περὶ ἑτέρου, Κάθισον αὐτόν.

Κακὸς Πονηροῦ διαφέρει, ὥσπερ ὁ Ἄκακος τοῦ Ἀγαθοῦ. Κακὸς μὲν γὰρ, ὁ πανοῦργος. Πονηρὸς δὲ, ὁ δραστικὸς κακοῦ.

Κακοήθεια μέν ἐστι κακία κεκρυμμένη. Κακοτροπία δὲ, ποικίλη καὶ παντοδαπὴς πανουργία.

Κέλης καὶ Ἐπακτροκέλης διαφέρει. Κέλης μὲν γάρ ἐστι πλοιάριόν τι μικρόν. Ἐπακτροκέλης δὲ, κακοῦργον καὶ λῃστρικὸν σκάφος, μεταξὺ ἐπακτρίδος καὶ κέλητος. Αἰσχίνης ἐν τῷ κατὰ Τιμάρχου, Ἀλλ' αἱ προπετεῖς τοῦ σώματος ἡδοναὶ, καὶ τὸ μηδὲν ἱκανὸν εἶναι, ταῦτα πληροῖ τὰ λῃστήρια· ταῦτα εἰς τὸν ἐπακτροκέλητα ἐμβιβάζει. Ἐπακτῆρες δὲ κυνηγέται καλοῦνται.

Κέλυφος, Κελύφανον, καὶ Ἔλυτρον διαφέρει. Κέλυφος μὲν γὰρ λέγεται ἐπὶ τῶν ὀστρακοδέρμων, οἷον τῶν κογχυλίων. Κελύφανον δὲ, ἐπὶ τῶν τραγημάτων καὶ ὀσπρίων. Ἔλυτρον δὲ, τὸ ὑγρὸν χώρημα.

Κέδρος θηλυκῶς μὲν, τὸ δένδρον· ἀρσενικῶς δὲ, ὁ καρπός. Ἀλλὰ θύε τοὺς κέδρους.

Κηρύξαι, Ἀποκηρύξαι, καὶ Ἐπικηρύξαι διαφέρει. Κηρύξαι μὲν γὰρ, καὶ Ἀποκηρύξαι λέγουσιν ἐπὶ τοῦ ὑπὸ κήρυκι ἀποδίδοσθαί τι. Μένανδρος, Ἀπεκήρυξεν αὐτὴν ἀγαγὼν, οἷον, ὑπὸ κήρυκι ἐπώλησε. Ἐπικηρύξαι δὲ, τὸ ὑποσχέσθαι χρήματα δώσειν τῷ συλλαβόντι, καὶ ἀνάγοντι, καὶ ἀποκτείναντι τινὰ τῶν δικασθέντων.

Κιβωτὸς καὶ Κίστη διαφέρει. Κιβωτὸς μὲν γάρ ἐστιν ἡ ξυλίνη· διὸ καὶ Ἀντίπηξ καλεῖται. Κίστη δὲ, ἡ πλεκτή.

Κίνησις Περιφορᾶς διαφέρει. Κίνησις μὲν γάρ ἐστι κυρίως ἡ ἐκ τόπου εἰς τόπον μετάβασις. Περιφορὰ δὲ, ἡ περὶ τὸν αὐτὸν τόπον στροφή.

Κίθαρις καὶ Κιθάρα διαφέρει, φησὶν Ἀριστόξενος, ἐν τῷ περὶ ὀργάνου. Κίθαρις γάρ ἐστιν ἡ λύρα, καὶ οἱ χρώμενοι αὐτῇ, Κιθαρισταὶ, οὓς ἡμεῖς λυρῳδοὺς φαμέν. Κιθάρα δὲ, ᾗ χρῆται ὁ κιθαρῳδός. Αἰσχίνης ἐν τῷ κατὰ Τιμάρχου διαστέλλει, καὶ φησὶν οὕτω· Περὶ αὐτῷ εἶχε κιθαριστὰς καὶ κιθαρῳδούς. Κιθαριστὴς μέν ἐστιν ὁ μόνον ψάλλων. Κιθαρῳδὸς δὲ, ὁ ᾄδων καὶ ψάλλων.

Κλῆσις καὶ Πρόκλησις διαφέρει. Κλῆσις μὲν γάρ ἐστιν ἡ εἰς ὁτιοῦν τῶν δικαστηρίων γενομένη. Πρόκλησις δὲ, ἡ εἰς Ἄρειον πάγον.

Κλῆμα Κλίματος διαφέρει. Κλῆμα μὲν γάρ ἐστιν εἶδος ἀμπέλου. Κλῖμα δὲ, μέρος τι τοῦ κόσμου.

Κλύσαι μὲν λέγεται ποτήριον ἢ ἀγγεῖον· Νίψαι δὲ, πρόσωπον καὶ πόδα. Πλῦναι δ' ἐσθῆτα.

Κόρδαξ καὶ Κάρδαξ διαφέρει. Κόρδαξ μὲν γάρ ἐστιν εἶδος ὀρχήσεως. Κάρδαξ δέ τις ἐκαλεῖτο στρατιώτης. βάρβαρος δὲ ἡ λέξις. καλεῖται δὲ ἡ μὲν τραγικὴ ὄρχησις, Ἐμμέλεια. Σίκινις δὲ, ἡ σατυρική. Κόρδαξ δὲ, ἡ κωμική.

Κομιδῆ καὶ Κομιδὴ διαφέρει. Κομιδῆ γὰρ περισπωμένως ἐπίῤῥημα, καὶ σημαίνει τὸ παντελῶς. Κομιδὴ ὀξυτόνως, ὄνομα, οἷον. Οὐ σφῶιν κομιδή. λέγεται δὲ ἡ ἀπόληψίς τινος Κομιδὴ, παρὰ τὸ κομίσασθαι καὶ ἀπολαβεῖν.

Κόπτει καὶ Ψοφεῖ διαφέρει. Κόπτει μὲν γὰρ τὴν θύραν ὁ ἔξωθεν· Ψοφεῖ δὲ, ὁ ἔσωθεν ἐξιών.

Κομᾷν καὶ Κουριᾷν διαφέρει. Κομᾷν μὲν γάρ ἐστι τὸ ἐπί τινος σεμνύνεσθαι τῶν καλῶς πεπραγμένων, καὶ τρέφειν τὴν κόμην. Κουριᾷν δὲ, τὸ κουρᾶς ἐπιδεῖσθαι, καὶ τὴν κόμην καθιέναι.

Κόρυδος καὶ Κορύδαλος διαφέρει. Κόρυδος μὲν γὰρ, τὸ ὄρνεον· λέγεται δὲ γῆς ἱερόν. Κορύδαλος δὲ, δῆμος Ἀθήνῃσιν, ἐν ᾧ σωτῆρος κούρης ἱερόν.

Κόνις καὶ Κονὶς διαφέρει. τὸ γὰρ λεπτότατον τῆς γῆς, Κονὶς, ὀξύνεται· τὸ δ', ἐπὶ τῆς κεφαλῆς γινόμενον φθειρῶδες, βαρύνεται.

Κόσμος οἰκουμένης διαφέρει. τὸ μὲν, περιέχει οἰκουμένην καὶ ἄστρα· τὸ δὲ, γῆν μόνον τὴν φ νηράν.

Κτήματα καὶ Ἐπικτήματα διαφέρει. Κτήματα μὲν γάρ ἐστι τὰ ἐν τῇ οἰκείᾳ. Ἐπικτήματα δὲ, τὰ ἐν ἀλλοτρίᾳ.

Κτῆσις, μέν ἐστι πᾶσα ἡ οὐσία. Κτῆμα δ', ἕν τι.

Κραιπάλη καὶ Μέθη διαφέρει. Κραιπάλη μὲν γάρ ἐστιν ἡ χθεσινὴ μέθη. Μέθη δὲ, ἡ τῆς αὐτῆς ἡμέρας γινομένη οἴνωσις.

Κύπτειν καὶ Κυπτάζειν διαφέρει. Κύπτειν μὲν γάρ ἐστι τὸ ἐπικάμπτεσθαι τῷ σώματι. Κυπτάζειν δέ ἐστι τὸ στραγγεύεσθαι. Ἀριστοφάνης ἐν νεφέλαις,

Χώρει, τί κυπτάζεις ἔχων περὶ τὴν θύραν;

Κυβεύειν καὶ Πεσσεύειν διαφέρει. Κυβεύειν γάρ ἐστι τὸ διὰ ψήφων ἢ ἀστραγάλων παίζειν· Πεσσεύειν δὲ, τὸ διὰ ψήφων.

Κρίνειν τοῦ Διακρίνειν διαφέρει. Κρίνειν μὲν γὰρ, τὸ κυρίως δοκιμάζειν. Διακρίνειν δὲ, τὸ πρᾶγμα πράγματος διϊστᾷν, καὶ χωρίζειν.

Κύειν καὶ Τίκτειν διαφέρει. Κύειν μὲν, τὸ ἔγκυον εἶναι. Τίκτειν δὲ, τὸ ἀπαλλάττεσθαι τοῦ κύειν. Εὐριπίδης ἐναντίον,

Ἡ κύουσα τίκτω (εἶπεν) ἡνίκ' ἡγόμην πάλιν.

Κύριος καὶ Δεσπότης διαφέρει. Κύριος γὰρ τῆς γυναικὸς ὁ ἀνὴρ, καὶ τῶν υἱῶν ὁ πατήρ. Δεσπότης δ' ἀργυρωνήτων τινῶν ἄλλων.

Κωφὸς καὶ Ἐνεὸς, ὁ αὐτὸς παρὰ τοῖς παλαιοῖς ἐλέγετο ὁ μὴ φθεγγόμενος. Ὅμηρος·

—— κύματι κωφῷ.

τῷ μὴ ἀποτελοῦντι ἦχον, καὶ ἡ Πυθία,

Καὶ κωφοῦ ξυνίημι, καὶ οὐ λαλέοντος ἀκούω.

παραλλήλως ἔταξε. νῦν δὲ Κωφὸς ὁ βεβλαμμένος τὴν ἀκοὴν λέγεται.

Κωμῳδὸς καὶ Τραγῳδὸς λέγεται ὁ χορευτὴς καὶ ὑποκριτής. Κωμῳδοποιὸς δὲ καὶ Τραγῳδοποιὸς, οἱ ποιηταί. ἐνίοτε δὲ συγχέουσι τὴν διαφοράν.

Λ.

Λαγχάνειν καὶ Κληρώσασθαι διαφέρει. Λαγχάνει μὲν εἷς, οὗ ἂν ὁ κλῆρος ἔλθῃ. Ὅμηρος,

Κλήρῳ νῦν πεπάλαχθε διαμπερὲς ὅς κε λάχῃσι.

Κληροῦνται δὲ οἱ καθιέντες εἰς τὸν κλῆρον. καὶ Λαγχάνειν μέν ἐστι τὸ ἐκ τῶν κληρουμένων τοῦ προκειμένου τυχεῖν. Κληρώσασθαι δὲ, τὸ κλήρῳ χρήσασθαι.

Πρόξενος καὶ Ἰδιόξενος καὶ Δορύξενος διαφέρει. Πρόξενος, πόλεως καὶ ἔθνους, ὡς παρὰ Θουκυδίδῃ· Ξένος δ' ὁ εἷς ἑνός· ὁ δὲ αὐτὸς καὶ Ἰδιόξενος. οὐκ ὀρθῶς οὖν Εὐριπίδης ἐν Τηλέφῳ Πρόξενον εἴρηκε τὸν Ἰδιόξενον·

Κακός τις ἐστὶ προξένῳ σοι χρώμενος.

Δορύξενος δὲ, ὁ κατὰ πόλεμον γενόμενος φίλος. ἁλοὺς γὰρ ξενίων τυχὼν ἀφείθη πρὸς τοῦ πολεμίου λύτρα λαβόντος μνᾶς ἢν ἡ τεταγμένη. κομίσας δὲ καὶ φυλάξας τὴν πίστιν, ἐγένετο φίλος, καὶ Δορύξενος ἐκαλεῖτο.

Προτέρα καὶ Προτεραία διαφέρει. Προτέρα μὲν γὰρ, ἐπὶ τάξεως· Προτεραία δὲ, ἐπὶ μόνης ἡμέρας.

Πρῶτος καὶ Πρότερος διαφέρει. Πρῶτος μὲν γὰρ, ἐπὶ πολλῶν. Πρότερος δὲ, ἐπὶ δύο. καὶ τῷ μὲν Πρώτῳ ἀκόλουθός ἐστιν ὁ ὕστατος· τῷ δὲ Προτέρῳ, ὕστερος. καὶ Πρότερος μὲν, ἐπὶ τάξεως, Πρῶτος δὲ, ἐπὶ ποιότητος. ὡς ὅταν ἐπὶ ἀγάλματος λέγωμεν, πρώτως ἔχειν τῇ τέχνῃ, οἷον ἐξόχως. Πλάτων γοῦν διαιρούμενος τὰς πολιτείας, τὴν μὲν Πρώτως ἔχειν φησὶ, τὴν δὲ ὑστέρως· δηλονότι ἡ μὲν πρωτεύει, ἡ δὲ ἕπεται. εἰ δέ τις εἴποι, πρότερον ἦλθον εἰς Ἀθήνας, ἁμαρτάνει. Πρῶτον γὰρ χρή.

Πρυτανεῖα, τὰ καταβαλλόμενα ὑπὸ τῶν διωκόντων τὴν δίκην· ἦν δὲ τὰ ἐπιδέκατα τοῦ τιμήματος τῆς δίκης· Πρυτανεία δὲ θηλυκῶς, ὁ χρόνος. διῄρητο γὰρ παρὰ Ἀθηναίοις ὁ ἐνιαυτὸς εἰς δέκα Πρυτανείας, ὅσαι καὶ φυλαὶ ἦσαν, καὶ ἐπρυτάνευσεν ἑκάστη φυλὴ κατ' ἐνιαυτὸν ἅπαξ. ὅθεν καὶ τοὺς μισθοὺς καὶ τὰ ἐνοίκια κατὰ τὰς πρυτανείας, οὐ κατὰ μῆνα ἐτέλουν.

Πρὸ μοίρας καὶ Πρὸ ὥρας διαφέρει. Πρὸ μοίρας μὲν γὰρ, ὁ βιαίως ἀποθανών. Πρὸ ὥρας δὲ, ὁ ἐν νεότητι.

Πρεσβεύονται καὶ Πρεσβεύουσι διαφέρει. Πρεσβεύονται μὲν γὰρ, οἱ τοὺς πρέσβεις χειροτονοῦντες καὶ πέμποντες. Πρεσβεύουσι δὲ, οἱ χειροτονούμενοι ἐπὶ τὴν πρεσβείαν.

Πρέσβεις, οἱ Πρεσβευταί. Πρέσβυς δὲ οὐδέποτε λέγεται. τὸ γὰρ ἑνικὸν Πρεσβευτὴς ἀνέγνωσται.

Πρότερος καὶ Πρῶτος διαφέρει. Πρότερος μὲν, ἐπὶ δυοῖν τάσσεται. ὡς Ὅμηρος ἐπὶ Τληπολέμου καὶ Σαρπηδόνος,

Τοῦ δὲ Τληπόλεμος πρότερος.

τὸ δὲ Πρῶτος, ἐπὶ πολλῶν·

Ὦρτο πολὺ πρῶτος ἄναξ ἀνδρῶν Ἀγαμέμνων.

Πρωτότοκος μὲν προπαροξυτόνως, ὁ Πρότερον τεχθείς· πρωτοτόκος δὲ παροξυτόνως, ἡ πρῶτον τεκοῦσα.

Προσπταίειν μὲν λέγεται τοῖς κάτω μέρεσιν, ἢ ποσὶν, ἢ κνήμῃ. Προσκρούειν δὲ, τοῖς ἄνω καὶ κεφαλῇ.

Πείθεσθαι μὲν τὸ ἑκουσίως συγκατατίθεσθαι· Πειθαρχεῖν δὲ, τὸ κελεύοντι πεισθῆναι.

Πυθὼν θηλυκῶς καὶ ὀξυτόνως, ὁ τόπος· βαρυτόνως δὲ καὶ ἀρσενικῶς, ὁ δράκων.

Πῦς καὶ Ποῖ, καὶ Πεῖ καὶ Πῶ διαφέρει παρὰ τοῖς Δωριεῦσι. τὸ μὲν γὰρ Πῦς καὶ Ποῖ, τὴν εἰς τόπον σημασίαν δηλοι· τὸ δὲ Πεῖ, τὴν ἐν τόπῳ· τὸ δὲ Πῶ, τὴν ἐκ τόπου. ὥσθ' οἱ Δωρίζοντες καὶ λέγοντες, Πεῖ πορεύῃ, ἁμαρτάνουσι· δέον γὰρ, Πῦς πορεύῃ. τὸ γὰρ Πεῖ τὴν ἐν τόπῳ σχέσιν δηλοῖ. Σώφρων,

Πεῖ γὰρ ἄσφαλτος, ποῖος εἱλισκοπεῖται.

ἀντὶ τοῦ ποῦ. ὅταν δ' εἰς τόπον θέλῃ εἰπεῖν, φησὶ, Πῦς ἐς μυχὸν καταδύῃ; ἀντὶ τοῦ, εἰς τίνα μυχόν;

Ρ.

Ῥάφανος καὶ Ῥαφανὶς διαφέρει. Ῥάφανον μὲν γὰρ Ἀττικοὶ λέγουσι τὴν παρ' ἡμῖν κράμβην. Ῥαφανίδα δὲ, τὴν παρ' ἡμῖν ῥάπανον.

Ῥέφανον καὶ Ῥάφανον διαφέρει παρ' Ἴωσι καὶ Ἀττικοῖς. Ῥέφανον μὲν, ἣν καὶ ἡμεῖς φαμέν· Ῥάφανον δὲ, τὴν κράμβην.

Ῥεῖθρον Ῥεύματος διαφέρει. Ῥεῖθρον μὲν γάρ ἐστιν ὁ τόπος, δι' οὗ φέρεται τὸ ῥεῦμα· Ῥεῦμα δὲ, αὐτὸ τὸ ὕδωρ.

Ῥᾴδιον μὲν τὸ εὐοδοῦν, τὸ ῥᾷστα τῇ ὁδῷ ἐπιτελούμενον. Εὐχερὲς δὲ, τὸ ταῖν χεροῖν ταχέως ἐπιτελεσθέν. Εὐπετὲς δὲ, τὸ ἐμπεσὸν εἰς εὐμάρειαν.

Ῥὶς καὶ Ῥύγχος διαφέρει. Ῥὶς μὲν γὰρ λέγεται ἐπὶ ἀνθρώπου. Ῥύγχος δὲ, ἐπὶ ἀλόγου ζώου.

Ῥὶς καὶ Μυκτὴρ διαφέρει. Ῥὶς μὲν γὰρ λέγεται ἡ ἀπὸ τοῦ μεσοφρύου καταγωγὴ μέχρι τοῦ χείλους· Μυκτῆρες δὲ, αἱ τῶν ῥινῶν κατατρήσεις, δι' ὧν ἔξεισι τὸ ὑγρὸν ἀπομασσόμενον.

Ῥοιὰ μὲν μετὰ τοῦ ι, τὸ δένδρον· Ῥοὰ δὲ, ὁ καρπός.

Ῥόδον καὶ Ῥοδωνιὰ καὶ Ῥοδῆ διαφέρει. Ῥόδον μὲν γὰρ, τὸ ἄνθος. Ῥοδωνιὰ δὲ, ὁ τόπος. Ῥοδῆ δὲ, τὸ φυτόν. Ἀρχίλοχος,

Ἔχουσα θαλλὸν μυρσίνης ἐτέρπετο,
Ῥοδῆς τε καλὸν ἄνθος.

Ῥύεσθαι καὶ Ἐρύεσθαι διαφέρει. Ἀριστόξενος ἐν τῷ πρώτῳ τραγῳδοποιῶν περὶ νεωτέρων οὕτω φησὶ κατὰ λέξιν. Ῥύεσθαι καὶ Ἐρύεσθαι διαφορὰν ἔχει πρὸς ἄλληλα. τὸ μὲν γὰρ Ῥύεσθαι, ἐκ θανάτου ἕλκειν· τὸ δὲ Ἐρύεσθαι, φυλάττειν.

Σ.

Σταθῆναι καὶ Στῆναι διαφέρει. Σταθῆναι μὲν γάρ ἐστι τὸ ὑφ' ἑτέρου· Στῆναι δὲ, τὸ κατ' ἰδίαν ὁρμὴν καὶ προαίρεσιν. οἷον, Ἐστάθη ὁ ἀνδριὰς ὑφ' ἑτέρου, Ἐστάθη ἡ νόσος. Ἔστη δ' ὁ ἄνθρωπος δι' αὑτοῦ.

Στάχυς, βραχέως τὸ ἑνικόν· ἐκτεταμμένως, τὸ πληθυντικόν.

Σταφυλὴν ὀξυτονητέον, ὡς ἀλκὴν, καὶ Σταφύλην βαρυτόνως, ὡς Μελίτην, διαφέρειν φησὶ Πτολεμαῖος ἐν δευτέρᾳ περὶ τῶν ἐν Ὀδυσσείᾳ προσῳδιῶν. τὸ μὲν γὰρ βαρυτονούμενον (φησὶν) ὄνομα ἐπὶ τῆς καθιεμένης μολύβδου παρὰ τοῖς ἀρχιτέκτοσι τίθεται· τὸ δ' ὀξυτονούμενον, ἐπὶ ὀπώρας. ὁ αὐτὸς, πάλιν ἐν δευτέρᾳ τῶν ἐν Ἰλιάδι προσῳδιῶν κατὰ λέξιν φησὶν οὕτως,

—— σταφύλῃ ἐπὶ νῶτον ἐΐσας.

Σταφύλη βαρυτόνως, ὡς Νιόβη· οὐ γάρ ἐστιν ὅμοιον τῷ συκῇ· τοῦτο γὰρ διαιρεῖται, συκέη· ἐκεῖνο δ' οὐ διαιρεῖται. Ἡρακλείδης ὁ ἡμέτερος φησὶν, Ἡμαρτῆσθαι δοκεῖ παρὰ τοῖς Ἕλλησιν ὀξυτονούμενον τοὔνομα. οὐδὲν γὰρ τῶν εἰς η ληγόντων θηλυκῶν ὀνομάτων μετέχον γένους τοῦ οὐδετέρου, παρατελευτῶντος τοῦ υ, ὀξυτονεῖται, ἀλλὰ πάντα τὰ ὑπὲρ δύο συλλαβὰς βαρυτονεῖται, κατὰ τὸ υ μὴ ὀξυτονούμενα, ἀλλὰ βαρυτονοῦντα τὸ στοιχεῖον ἔχει. οἷον κοιδύλη, Δαμύλη, Φαισύλη. δοκεῖ δ' αὕτη μία τῶν τιθηνησαμένων τὸν Διόνυσον, ἃς ὁ Λυκοῦργος

Σεῦε κατ' ἠγάθεον Νυσήϊον.

ἐδύλη. ὅθεν καὶ τὸ Σταφύλη βαρυτονητέον. οἱ δ' ὀξυτονοῦντες φασὶν, ὅτι ἀπὸ βαρυτόνων ἀρσενικῶν εἰς ος ληγόντων τὰ εἰς η λήγοντα θηλυκὰ ὀξυτονεῖται. ἢ, ἐὰν τὰ ἀρσενικὰ ὀξυτονῆται, τὰ θηλυκὰ βαρυτονηθήσεται. οἷον πόθος, ποθή· νόμος, νομή· ὦνος, ὠνή· τίμος, τιμή· φόνος, φονή.

—— ἐν ἀργαλέῃσι φονῇσι.

καὶ τοὔμπαλιν. Δαναὸς, Δανaή. ἐπεὶ οὖν καὶ ἐπὶ τούτου τὸ ἀρσενικόν ἐστι Στάφυλος, (οὕτω γὰρ ἐκαλεῖτο ὁ τοῦ Διονύσου υἱὸς) τὸ θηλυκὸν Σταφυλὴ ὀξυτονηθήσεται. Πρὸς οὓς ῥητέον, ἰδοὺ κόγχος, κόγχη, καὶ οὐκ ὀξυτονεῖται. φίλος, φίλη· μόνος, μόνη· μύλος, μύλη. καὶ ἐπὶ τῶν ὀξυτόνων, καλὸς, καλή· σοφὸς, σοφή. καὶ τὰ θηλυκὰ οὐ βαρύνεται, ἀλλ' ὁμοτονεῖ τοῖς μὲν βαρυτόνοις τὰ βαρύτονα· τοῖς δὲ ὀξυτόνοις, τὰ ὀξύτονα. ὅθεν οὐ παράδοξον καὶ ἀπὸ τοῦ στάφυλος βαρυτόνου ὀνόματος καὶ τὸ θηλυκὸν βαρυτονεῖν Σταφύλη, ὡς ἐδύλη. Τινὲς δὲ βοηθοῦντες τῇ συνηθείᾳ, καὶ ὀξυτονεῖν βουλόμενοι, φασὶν ὅτι ὅσα τοῦ αὐτοῦ ἀπαραλλάκτως ἔχεται σημαινομένου, ὁμοτονεῖ· ὅσα δὲ διαλλάσσει τῶν σημαινομένων, οὐκέτι. ὁ μὲν οὖν φίλος καὶ φίλη, καὶ ξένος καὶ ξένη, καὶ τὰ προκείμενα, ἀπαράλλακτά ἐστι· διὸ ὁμοτονεῖ. τὰ δὲ διαφέροντα, οὐκέτι. καθάπερ γὰρ χόλος, χολή· καὶ τρόπος, τροπή· καὶ νόμος, νομή· γόνος, γονή· δόμος, δομή· στρόφος. στροφή. πόθος, ποθή. περὶ τούτου οὖν ἐν ἄλλοις ἐντελῶς εἴρηται ὅτι διαφέρει. εἰ οὖν ἐστι στάφυλος ἀρσενικὸν, διαφέρει δὲ τῷ σημαινομένῳ, ἡ σταφυλὴ, ὀπώρα δὲ, ὄντως ὀξύνεται. Τὸ μέν τοι προκείμενον τοῦ Ἡρακλείδους παρατήρημα ἰσχυρὸν, καθὰ παραγγέλλεται ὀξυτονεῖν, οὐ μόνον διὰ τὰ παρακολουθοῦντα τῷ ὀνόματι, ἀλλ' ὅτι καὶ ὑπὲρ δύο ἐστὶ συλλαβάς· τὰ γὰρ προκείμενα, δισύλλαβα. ὥστε οὐδὲ τὴν ὀπώραν ὀξυτονεῖν ἀναλογία ἐπιτρέπει. ἀλλὰ καὶ ἡ Πτολεμαίου ἀθετεῖται παρατήρησις, καθ' ἣν διαφέρειν φησὶ τοῖς τόνοις τοὔνομα καὶ τῷ σημαινομένῳ.

Σημεῖον καὶ Τεκμήριον διαφέρει. Ἀντιφῶν ἐν τῇ τέχνῃ, τὰ παροιχόμενα σημείοις πιστεύεσθαι, τὰ δὲ μέλλοντα, τεκμηρίοις.

Σισύρα καὶ Σίσυρνα διαφέρει. Σισύρα μὲν γὰρ, τὸ ἐκ τῶν τετριχωμένων δερμάτων ἀναποίητον στέγαστρον· Σίσυρνα δὲ, τὸ ἐκ τῶν κροκύδων ῥαπτόμενον ἀμπεχόνιον.

Σηκὸς δύο σημαίνει, θεῶν τε ναὸν, καὶ προβάτων περιφράγματα.

Σικελὸς καὶ Σικελιώτης διαφέρει. Σικελὸς μὲν γάρ ἐστιν ὁ ἐξ αὐτῆς τῆς Σικελίας ὤν· Σικελιώτης δὲ, ὁ Σικελὸς μὲν μὴ ὢν, τὴν δὲ χώραν αὐτὴν οἰκῶν.

Σιωπὴ καὶ Σιγὴ διαφέρει. Σιωπὴ μὲν γάρ ἐστι κατάσχεσις λόγου· Σιγὴ δὲ, στέρξις λόγου.

Σκήπτεσθαι καὶ Σκέπτεσθαι διαφέρει. Σκήπτεσθαι μὲν γάρ ἐστι τὸ προφασίζεσθαι, Σκέπτεσθαι δὲ, τὸ βουλεύεσθαι.

Σκῶμμα, Γελοίου, Εὐτραπέλου, καὶ Γεφυρισμοῦ διαφέρει. Σκῶμμα μὲν γάρ ἐστι, τὸ ἐπὶ διασυρμῷ τοῦ πέλας λεγόμενον, οἱονεὶ σκέμμα. Γελοῖον δὲ, τὸ ἐπὶ διαχύσει τῶν ἀκροατῶν χωρίς τινος ὕβρεως· Εὐτράπελον, τὸ μετὰ σεμνότητος χαριέντως λεγόμενον. εἴρηται δὲ παρὰ τὸ εὖ τρέπεσθαι τὸν λόγον. Γεφυρισμὸς δὲ, ἀπὸ τοῦ τοῖς Ἀθήνησιν ἐπὶ τῶν γεφυρῶν ἐπιγράφειν ἤτοι ἔμμετρα, ἢ καὶ δίχα μέτρων, διασυρμούς τινῶν.

Σοφὸς καὶ Συνετὸς διαφέρει. καθὸ ὁ Σοφὸς, καὶ Συνετός· ὁ δὲ Συνετὸς, οὐ πάντως Σοφός.

Σοῖο καὶ Σεῖο παρὰ ποιηταῖς κατὰ τοὺς ἀκριβῶς ἀναγινώσκοντας διαφέρει. Σοῖο μὲν γάρ ἐστι σύναρθρος ἀντωνυμία· οἷον,

Μνήσεο πατρὸς σοῖο.

ἡ δὲ Σεῖο, οὐ σύναρθρος.

Σεῖο δέ κεν ζωοῦ καὶ τρὶς τόσα δοῖεν ἄποινα.

ἀντὶ τοῦ, Σοῦ ζῶντος καὶ τρὶς τοσαῦτα δοῖεν ἄποινα, οὐκέτι Σοῦ ζῶντος· καὶ φυλάττεται ταῦτα ἄκρως παρ' Ὁμήρῳ.

Σπονδαὶ καὶ Συνθῆκαι διαφέρει. Σπονδαὶ μὲν γὰρ, ἃς ἐκ πολέμου συντίθενται πρὸς ἀλλήλους, ἃς ἀναγράφονται, ἐφ' οἷς διακρίνονται. οἷον συντιθέμενοι μὴ πολεμήσειν, μήδ' ἀδικήσειν ἀλλήλους. Συντίθενται δὲ εἰρήνην καὶ φιλίαν πρὸς ἀλλήλους, καὶ τὸ παρὰ ταύτας πραχθὲν ἀρχὴ γίνεται πολέμου.

Σπουδάζειν καὶ Σπεύδειν διαφέρει. Σπουδάζειν μὲν γάρ ἐστι τὸ ἐναντίον τοῦ παίζειν· Σπεύδειν δὲ, τὸ βοηθεῖν τινὶ καὶ συναίρεσθαι.

Στρατόπεδον καὶ Στρατὸς διαφέρει. Στρατόπεδον μὲν, ὁ τόπος ἐν ᾧ ἡ στρατεία. Στρατὸς δὲ, τὸ στρατιωτικὸν πλῆθος.

Στρατεία ἐκτεταμένως, τὸ πρᾶγμα. Στρατιὰ συνεσταλμένως, τὸ τῶν στρατιωτῶν πλῆθος. ἐναλλάσσει δὲ πολλάκις ἐν τῇ χρήσει.

Στρατὸς καὶ Στράτευμα καὶ Στρατόπεδον διαφέρει. Στρατὸς μὲν γὰρ καὶ Στράτευμα, κυρίως τὸ πλῆθος λέγεται. Στρατόπεδον δὲ, ὁ τόπος ἐν ᾧ εἰσι.

Συμμαχεῖν καὶ Ἐπιμαχεῖν διαφέρει. Συμμαχεῖν μὲν γὰρ λέγουσι τὸ σὺν ἑαυτοῖς, φησὶ Δίδυμος, εἴτ' αὐτοῖς ἐπίοιεν πολέμιοι, εἴθ' ἕτεροι ἐπιστρατεύοιεν. Ἐπιμαχεῖν, ὅταν τοὺς ἐπιόντας ἀμύνονται μόνον. διέσταλκε Θουκυδίδης ἐν τῇ πρώτῃ, λέγων, Κερκυραίοις Ἀθηναίους συμμαχίαν μὲν οὐ ποιήσασθαι, ἐπιμαχίαν δέ.

Σύνεργος καὶ Συνεργὸς διαφέρει. Συνεργὸς μὲν γὰρ ὀξυτόνως, ὁ περί τι ἔργον ἀνεπιτήδειον συμπονῶν. Σύνεργος δὲ, προπαροξυτόνως, ὁ τὸ αὐτὸ μετιὼν, οἷον σύντεχνος.

Σύγγραμμα Συντάξεως διαφέρει. Σύγγραμμα μὲν γάρ ἐστιν ὁ δίχα μέτρου λόγος, ὁ προσαγορευόμενος πεζός. Σύνταγμα δὲ πολεμικόν τι σύστημα. ἀφ' οὗ καὶ Συνταγματάρχης, ὁ τοῦ συστήματος αὐτοῦ ἄρχων.

Σύνθεσις Συντάξεως διαφέρει. Σύνθεσις μὲν γάρ ἐστιν ὁ λόγος ὁ ἔμμετρος· Σύνταξις δὲ, ὁ λόγος ὁ πεζός.

Συμβουλὴ Παραινέσεως διαφέρει. Συμβουλὴ μὲν γάρ ἐστιν εἰσήγησις, ἀντιλογίαν ἐπιδεχομένη, διὰ τὸ ἄδηλον τοῦ ἐκβησομένου. καὶ γὰρ ἐάν τις συμβουλεύσῃ πόλεμον, ἀμφίβολον εἰ συμφέρει. διὸ καὶ ἔχει τὸ ἐνιστάμενον. Παραίνεσις δέ ἐστι συμβουλὴ ἀντίρρησιν οὐκ ἐπιδεχομένη, διὰ τὸ ἐξ αὐτῆς λεγόμενον πάντως ὁμολογεῖσθαι ἀγαθὸν, ὡς εἴ τις παραινέσει σωφρονεῖν. ὅπερ ἐστὶν ὡμολογημένον ἀγαθόν.

Σφάξαι καὶ Θῦσαι διαφέρει. Θῦσαι μὲν γάρ ἐστι τὸ θυμιάσαι. Σφάξαι δὲ, τὸ ἱερουργῆσαί τι ζῶον. καὶ Ὅμηρος τὴν διαφορὰν τετήρηκεν, οὕτως μὲν Θῦσαι εἰπὼν,

———— θεοῖσι δὲ θῦσαι ἀνώγει
Πάτροκλον ὃν ἑταῖρον· ὁ δ' ἐν πυρὶ βάλλε θυηλάς.

ἐπὶ τοῦ σφάξαι,

Αὖ ἔρυσαν μὲν πρῶτα, καὶ ἔσφαξαν, καὶ ἔδειραν.

Στύραξ θηλυκῶς μὲν, θυμίαμα· ἀρσενικῶς δὲ, τὸ ξύλον τοῦ ἀκοντίου.

Σχισταὶ, τὰ ὑποδήματα. Εὔπολις Φίλοις,

Οὐ δεινά ταῦτά γ'· Ἀργείας φέρειν
Σχιστᾶς; ἐνεργεῖν;

Σχιστὸς δὲ ἀρσενικῶς, χιτὼν γυναικεῖος. Ἀπολλόδωρος ἐν Ἐφήβοις,

Σχιστὸν χιτωνίσκον τιν' ἐνδέδυκας.

Σχολῇ τὸ ἠρέμα, καθὸ φαμὲν, Σχολῇ βαδίζω· καὶ τὸ ἐν καιρῷ, καθ' ὃ λέγεται· Οὐκ εἶχον σχολήν. καὶ ἡ διατριβὴ, καὶ οἱ μαθηταί· διὸ φαμὲν λαμπρὰν σχολήν.

Τ.

Τάλαν διὰ τοῦ ν, τὸ ἐπίρρημα. Διὰ δὲ τοῦ σ, ὁ ταλαίπωρος.

Τάπητες, καὶ Ἀμφιτάπητες διαφέρουσι. Τάπητες μὲν γάρ εἰσιν οἱ ἐκ τοῦ ἑτέρου μέρους μαλλὸν ἔχοντες. Ἀμφιτάπητες δὲ, οἱ ἐξ ἀμφοτέρων.

Ταυρόκτονος, ὁ ὑπὸ ταύρου ἀναιρεθείς· Ταυροκτόνος δὲ παροξυτόνως, ὁ ταῦρον ἀποκτείνας.

Τέχνη Ἐπιτηδεύματος διαφέρει. Τέχνη μὲν γάρ ἐστιν ἡ ἄνευ λόγου μὴ δυναμένη εἶναι, οἷον γραμματικὴ, ῥητορική. Ἐπιτήδευμα δὲ, τὸ λόγου χρεῦον, οἷον χαλκευτικὴ, τεκτονική.

Τεχνίτης, καὶ Βάναυσος διαφέρει. Τεχνίτης μὲν γάρ ἐστιν ὁ λογικῆς τινος τέχνης ἔμπειρος καθεστώς· Βάναυσος δὲ, ὁ δι' ἀλόγου τινὸς ἐπιτηδεύματος.

Τέτραχμον καὶ Τετράδραχμον διαφέρει. Τέτραχμον μὲν γάρ ἐστι τὸ νόμισμα. Τετράδραχμον δὲ, τῶν τεσσάρων δραχμῶν.

Τέρας Σημείου διαφέρει. τὸ μὲν γὰρ Τέρας, παρὰ φύσιν γίνεται· τὸ δὲ Σημεῖον, παρὰ συνήθειαν.

Τεχνάσματα καὶ Τεχνήματα διαφέρουσι. Τεχνάσματα μὲν γὰρ, τὰ κακουργήματα· Τεχνήματα δὲ, αἱ τέχναι.

Τείχη καὶ Τειχία διαφέρει. Τείχη μὲν γάρ ἐστι τὰ τῶν πόλεων· Τειχία δὲ, τὰ τῶν οἰκιῶν.

Τήθη καὶ Τηθὶς διαφέρει· Τήθη μὲν γάρ ἐστιν ἡ τοῦ παιδὸς τροφός· (ταύτας δ' ἔνιοι Μαίας καὶ Μάμμας καλοῦσι) Τηθὶς δέ ἐστιν ἡ τοῦ πατρὸς ἢ μητρὸς ἀδελφὴ, ἣν ἔνιοι θείαν καλοῦσι.

Τιτθὴ καὶ Τροφὸς καὶ Τιθηνὸς διαφέρει. Τιτθὴ μὲν γάρ ἐστιν ἡ μαστὸν παρέχουσα· Τροφὸς δὲ καὶ Τιθηνὸς, ἡ τὴν ἄλλην ἐπιμέλειαν ποιουμένη τοῦ παιδὸς, καὶ μετὰ τὸν ἀπογαλακτισμόν.

Τιμωρεῖσθαι καὶ Τιμωρεῖν διαφέρει. Τιμωρεῖσθαι μὲν γάρ ἐστι τὸ κολάζειν· Τιμωρεῖν δὲ, τὸ βοηθεῖν τοῖς ἀδικουμένοις.

Τίθησι καὶ Τίθενται διαφέρει. Τίθησι γὰρ τὸν νόμον ὁ νομοθέτης. Τίθενται δὲ τὸν νόμον οἱ δικάζοντες καὶ αἱρούμενοι.

Τοὔνεκα καὶ Οὕνεκα διαφέρει. τὸ μὲν γὰρ Τοὔνεκα, ἔστι τούτου ἕνεκα· τὸ δὲ Οὕνεκα, ἀντὶ τοῦ ὅτι. ἁμαρτάνει οὖν ὁ Καλλίμαχος ἐν Ἑκάλῃ κατὰ δύο τρόπους, λέγων,

Τοὔνεκεν Αἰγεὺς ἔσχεν.

ὅτι τε δέον εἰπεῖν Οὕνεκα, Τοὔνεκεν εἶπε· καὶ ὅτι ἀντὶ τοῦ κα, κεν εἶπεν.

Τιμωρεῖν καὶ Τιμωρεῖσθαι διαφέρει. Τιμωρεῖν μὲν γάρ ἐστι τὸ βοηθεῖν τινὶ καὶ συναίρεσθαι· Τιμωρεῖσθαι δὲ, τὸ κολάζειν. καὶ συντάττουσι, Τιμωρῶ τῷ φίλῳ, ἀντὶ τοῦ βοηθῶ· Τιμωροῦμαι τὸν ἐχθρὸν, ἀντὶ τοῦ κολάζω.

Τίθεται νόμον, καὶ Τίθησι, διαφέρει. Τίθησι μὲν γὰρ, ὁ εἰσφέρων· Τίθεται δὲ, ὁ κυρῶν.

Τόμος καὶ Τομὸς διαφέρει. Τόμος μὲν γάρ ἐστιν ὁ τεμνόμενος χάρτης· Τομὸς δὲ, ὁ τέμνων σίδηρος.

Τρίετες βαρυτόνως, καὶ Τριετὲς ὀξυτόνως διαφέρει, φησὶ Πτολεμαῖος ὁ Ἀσκαλωνίτης. ἐὰν μὲν γὰρ βαρυτονήσωμεν, ἔσται ἐπὶ χρόνου. διὸ καὶ ὁ ποιητής φησιν.

Ὡς τρίετες μὲν ἔληθε δόλῳ·

ἐὰν δὲ ὀξυτονήσωμεν Τριετὲς, ὡς εὐφυὲς, ἔσται ἐπὶ ἡλικίας. οἷον, τριετὲς τὸ παιδίον· ὅθεν τὸ,

Ἐξετέ', ἀδμήτην.

χρὴ οὖν ἀναγινώσκειν ὡς ἀξιοῖ Ἀσκαλωνίτης.

Τροχοὶ ὀξυτόνως, καὶ Τρόχοι βαρυτόνως διαφέρουσι παρὰ τοῖς Ἀττικοῖς. φησὶ Τρύφων ἐν δευτέρᾳ περὶ Ἀττικῆς προσῳδίας. τοὺς μὲν γὰρ περιφερεῖς Τροχοὺς ὁμοίως ἡμῖν προφέρονται ὀξυτονοῦντες· Τρόχους δὲ βαρυτόνως λέγουσι τοὺς δρόμους. Ἀναγινώσκομεν γὰρ, ὥς φησιν, μὲν ἐν Ἀλόπῃ Εὐριπίδου,

Ὁρῶ μὲν ἀνδρῶν τόνδε γυμνάδα στόλον
Στείχοντα θεωρὸν ἐκ τρόχων πεπαυμένον.

ἀναλογώτερον δὲ τὸ βαρύνειν. τὰ γὰρ εἰς χος δισύλλαβα, παρατελεύτου ὄντος τοῦ ο, βαρυτονεῖται. οἷον λόχος, ὄχος, βρόχος, κόγχος, κόλχος, μόσχος· οὕτω καὶ τρόχος, καὶ ἔτι τὰ παρὰ ῥήματος εἰς ω βαρύτονα, καὶ αὐτὰ βαρυτονεῖται ἰσοσυλλαβοῦντα, οἷον πλέκω, πλόκος· σπείρω, σπόρος. λέγω, λόγος. φέρω, φόρος. οὕτω καὶ τρέχω, τρόχος.

Τραγῳδοὶ καὶ Κωμῳδοὶ, καὶ Τραγῳδοποιοὶ καὶ Κωμῳδοποιοὶ διαφέρουσι. Τραγῳδοὶ μὲν γὰρ καὶ Κωμῳδοὶ, εἰσὶν οἱ ὑποκριταὶ τῆς κωμῳδίας καὶ τραγῳδίας· Τραγῳδοποιοὶ δὲ καὶ Κωμῳδοποιοὶ, οἱ ποιηταὶ τῶν δραμάτων.

Τύραννον οἱ ἀρχαῖοι ἐπὶ βασιλέως ἔτασσον. Ἡρόδοτος ἐπὶ Κροίσου, Τυράννου δ' ἐθνέων. καὶ προβὰς, Τελευτήσαντος δὲ Ἀλυάττεω, διεδέξατο τὴν βασιληΐην. καὶ Ἀριστοφάνης ἐν Λημνίαις, Ἐνταῦθ' ἐτυράννευεν Ὑψιπύλης πατὴρ Θόας, βραδύτερος τῶν ἐν ἀνθρώποις δραμεῖν. ἔσθ' ὅτε καὶ τὸν τύραννον Βασιλέα ἔλεγον, ὡς Εὔπολις ἐν Δήμοις ἐπὶ τοῦ Πεισιστράτου.

Τήθη μέν ἐστιν ἡ μάμμη. Ἐπιτήθη δὲ, ἡ προμάμμη. Τιθὴ δὲ, ἡ θεία. Τιτθὴ δὲ, ἡ τροφός.

Υ.

Ὕμνος Ἐγκωμίου διαφέρει. ὁ μὲν γὰρ Ὕμνος ἐστὶ θεῶν· τὸ δὲ Ἐγκώμιον, ἀνθρώπων.

Ὕπαρ Ὀνείρατος διαφέρει. Ὕπαρ μὲν γάρ ἐστιν ἡ ἐναργὴς ὄψις. Ὄνειρον δὲ, ἡ ἐν τῷ καθεύδειν φαντασία.

Ὑπαντῆσαι καὶ Ἀπαντῆσαι διαφέρει. Ὑπαντῆσαι μὲν γὰρ ἐπὶ ὁδοῦ λέγεται. Ἀπαντῆσαι δὲ, τὸ περιτυχεῖν δίκῃ. οἷον, Ἀπήντησε κατὰ τὴν δίκην, ἀντὶ τοῦ περιέτυχεν.

Ὑπόσχεσις καὶ Ἐπαγγελία διαφέρει. Ὑπισχνεῖται μὲν γὰρ, ὁ τὸ ἀξιωθὲν διδόναι μέλλων. Ἐπαγγέλλεται δὲ, ὁ δίχα παρακλήσεως παρέχειν βουλόμενος.

Ὑποψία Ὑφοράσεως διαφέρει. Ὑποψία μὲν γάρ ἐστι καλοῦ τις ὑπόνοια. Ὑφόρασις δὲ, δόξα ἐπὶ τὸ χεῖρον.

Ὑπάρξαι, τό, τε γενέσθαι, καὶ τὸ κατάρξασθαι.

Ὑπάγειν καὶ Πορεύεσθαι διαφέρει. ὅτι τὸ Πορεύεσθαι μέν ἐστι τὸ βαδίζειν· Ὑπάγειν δὲ, τὸ ὑπὸ ζυγὸν ἄγειν βοῦς ἢ ἵππους, ἤ τι τῶν τοιούτων· ὡς Ὅμηρος,

—— ὕπαγε ζυγὸν ὠκέας ἵππους.

οἱ δὲ βοηθοῦντες τῇ λέξει φασὶν, ὅτι Ὑπάγειν λέγομεν ἀντὶ τοῦ προάγειν. ὥσπερ Ὑφηγητὴν ἀντὶ τοῦ προηγητὴν, καὶ Ὑπογραμμὸν ἀντὶ τοῦ προγραμμόν· ὥς φησι καὶ Ἀριστοφάνης,

Ἐγὼ δὲ ὑπαίρω τὸν ὅρκον, ἀντὶ τοῦ προαίρω.

οὕτως οὖν καὶ Ὑπάγειν λέγομεν ἀντὶ τοῦ προάγειν, τοῦτ' ἔστιν εἰς τοὔμπροσθεν πορεύεσθαι. κέχρηται τῇ λέξει Εὔπολις ἐν Βάπταις,

Σὺ δ' ὕπαγε εἰς τοὔμπροσθεν.

Φ.

Φακοὺς Φακῆς διαφέρειν φασί. Φακοὶ, οἱ ἔτι ὠμοὶ, οὐχ ἑνικῶς· Φακὴ δὲ, ἡ ἑψημένη. τετήρηται παρὰ τοῖς παλαιοῖς ἡ διαφορά.

Φαυλία καὶ Φυλία διαφέρει. Φαυλία μὲν γὰρ, εἶδος ἐλαίας. Φυλία δὲ, ἡ σχῖνος.

Φάκελος καὶ Σφάκελος διαφέρει. Φάκελος μὲν γάρ ἐστι φορτίον ξύλων. Θουκυδίδης, φακέλους ὕλης ἀργείας· Σφάκελος δὲ, ὁ μετὰ φλεγμονῆς σπασμός.

Φάσκωλος Φασκωλίου διαφέρει. Φάσκαλος μὲν γάρ ἐστιν ἱματιοφορίς· Φασκώλιον δέ ἐστι δερμάτιον.

Φαρμακεία Γοητείας διαφέρει. Φαρμακεία μὲν γὰρ κυρίως, ἡ βλάβη ἡ διὰ δηλητηρίου τινὸς γινομένη φαρμάκου. Γοητεία δὲ, ἡ ὑπὸ ἐπικλήσεώς τε καὶ ἐπαοιδῆς.

Φαρμακεύς. Φαρμακὸς δὲ ὀξυτόνως, ὁ ἐπὶ καθάρσει τῆς πόλεως ῥιπτόμενος.

Φάσμα μέν ἐστι τὸ ὅμοιον ἀληθείᾳ. Φάντασμα δὲ, τὸ ἑτερόμορφον. Εἴδωλον δὲ, τὸ ὅμοιον τῇ σκιᾷ· Τέρας δὲ, ἐναργὲς σῶμα ἑτερόμορφον· Βρέτας δὲ, τὸ ξόανον.

Φάγαινα μὲν λέγεται ἡ μετὰ τὰς νόσους πολυφαγία. Φαγέδαινα δὲ, φῦμα ἀνήκεστον.

Φεύγει καὶ Ἀποφεύγει διαφέρει. Φεύγει μὲν γὰρ δίκην ὁ κατηγορούμενος· (καὶ γὰρ ὁ κατηγορῶν διώκει) Ἀποφεύγει δὲ, ὁ νικήσας, καὶ λυθεὶς τῆς κατηγορίας.

Φθῖοι καὶ Φθιῶται διαφέρουσι. Φθῖοι μὲν γὰρ, οἱ ὑπὸ τῷ Πρωτεσιλάῳ. φησὶ γοῦν Ὅμηρος,

—— πρὸ Φθίων τε Μάδων τε

οἷον, οὐκ ἀπὸ πόλεως, οὐδ' ἀπὸ χώρας, ἀλλ' ἀπ' ἀνδρὸς Φθίου. Φθιῶται δὲ, οἱ ὑπὸ τῷ Ἀχιλλεῖ, ἀπὸ πόλεως Θεσσαλικῆς Φθίας, καὶ χώρας ὁμωνύμου,

Φθίην δ' ἐξικόμην ἐριβώλακα.

ἠγνόησεν οὖν Καλλίμαχος, εἰπὼν,

Οὐδ' ἔτι τὴν Φθίων εἶχεν ἀνακτορίην.

Φιλεῖν καὶ Κυσεῖν διαφέρει. ὅτι τὸ μὲν Κυσεῖν, τὸ τοῖς χείλεσιν ἀσπάζεσθαι· Φιλεῖν δὲ, τὸ ἀγαπᾷν καὶ ξενίζειν.

Φίλος καὶ Ἑταῖρος διαφέρει. Φίλοι μὲν γὰρ, κοινῶς ἅπαντες οἱ τὰ τῆς φιλίας δίκαια πρὸς ἑαυτοὺς ἔχοντες· Ἑταῖροι δὲ ἰδίως οἱ καὶ τῇ ἡλικίᾳ παραπλησίως ἔχοντες, οἱ καὶ ἐν τῇ συνηθείᾳ, καὶ ἐν τῇ συνεργίᾳ πολὺν χρόνον γεγονότες.

Φόρος καὶ Φορὸς διαφέρει. Φόρος μὲν γὰρ λέγεται ὁ φέρων, οὕτως καὶ Φόρος ἡ ἀναίρεσις· Φορὸς δὲ, ὁ τόπος τῆς ἀναιρέσεως, καὶ Φορὸς ὁ φερόμενος.

Φράσον καὶ Φράσαι διαφέρει. Φράσον μὲν γάρ ἐστι τὸ εἰπέ· Φράσαι δὲ, ἀντὶ τοῦ διανοήθητι·

—— σὺ δὲ φράσαι εἴ με σαώσεις.

Φριμάττεσθαι καὶ Φρυάττεσθαι διαφέρει. Φριμάττεσθαι μὲν γὰρ τὸν τράγον φαμὲν (καὶ Φριμαγμὸς ἡ τοῦ τράγου φωνὴ, ὥσπερ Φρυμαγμός.) Φρυάττεσθαι δὲ, τὸν ἵππον τὸν φυσῶντα καὶ γαυρώμενον.

Φρονεῖν τοῦ Καταφρονεῖν διαφέρει. Φρονεῖν μὲν γάρ ἐστι τὸ λογίζεσθαί τι καὶ ἐνθυμεῖσθαι· Καταφρονεῖν δὲ, τὸ εὐτελίζειν καὶ ὑπερορᾷν.

Φερνὴ μὲν ἡ προίξ· Φέρνιον δὲ, τὸ ἁλιευτικὸν σπυρίδιον.

Φύλλον καὶ Φῦλον διαφέρει. Φύλλον μὲν γὰρ, τὸ πέταλον δένδρου. Φῦλον δὲ, τὸ γένος.

Φωνεῖν καὶ Ὠρύεσθαι διαφέρει. Φωνεῖν μὲν γὰρ ἐπὶ ἀνθρώπων λέγεται. Ὠρύεσθαι δὲ, ἐπὶ λύκων. παρατηρητέον δὲ ἐπὶ τῶν λοιπῶν τὸ οἰκεῖον ἑκάστῳ. ὅτι Βληχᾶσθαι μὲν γὰρ λέγεται ἐπὶ τῶν προβάτων. Μηκᾶσθαι δὲ ἐπὶ τῶν αἰγῶν, διὰ τοῦ η. Μυκᾶσθαι δὲ ἐπὶ τῶν βοῶν διὰ τοῦ υ. Βρωμᾶσθαι, ἐπὶ ὄνων. Βρυχᾶσθαι δὲ, ἐπὶ λεόντων. Χρεμετίζειν δὲ, ἐπὶ ἵππων. Ἀραρίζειν δὲ, ἐπὶ κυνῶν, παρ' Ἀθηναίοις, ἀπὸ τῆς αρ φωνῆς παρ' ἡμῖν Ὑλακτεῖν λέγεται.

Φωλεὸς καὶ Κοίτη διαφέρει. Φωλεὸς μὲν γὰρ ἐπὶ τῶν ἑρπετῶν τάσσεται· Κοίτη δὲ, ἐπὶ ἀνθρώπων. ὥστε ἐπὶ μὲν τῶν ἑρπετῶν ῥητέον τὸ Φωλεύειν· ἐπὶ δὲ ἀνθρώπων, τὸ Κοιτάζειν· ἐπὶ δὲ τῶν ὀρνέων, τὸ Νοσσεύειν. ὁ γοῦν λέγων Νοσσιὰν τῶν τέκνων, ἀκυρολογεῖ. Τέκνα μὲν γὰρ, ἀνθρώπων. Νοσσοὶ δ' ὀρνίθων· Νεβροὶ δ', ἐλάφων· Σκύμνοι δὲ, λεόντων· Σκύλακες δὲ, κυνῶν.

Χ.

Χάραξ θηλυκῶς μὲν, ἐπὶ τῶν τῇ ἀμπέλῳ παραδεσμουμένων· ἀρσενικῶς δὲ, ἐπὶ τῶν ἐν τοῖς πολέμοις περιπηγνυμένων· ἀφ' ὧν λέγουσι Χαρακώσαντες, ἀντὶ τοῦ περιφράξαντες· καὶ Χαρακώματα, τὰ περιφράγματα.

Χαρὰ καὶ Εὐφροσύνη καὶ Τέρψις καὶ Εὐθυμία καὶ Ἡδονὴ καὶ Ἀπόλαυσις διαφέρουσι· Χαρὰ μὲν γάρ ἐστι πρόσφατος ψυχῆς ἔπαρσις καὶ διάχυσις· Εὐφροσύνη δὲ, πάθος χρόνιον μετὰ σωφροσύνης γινόμενον. Τέρψις δὲ, οἱονεὶ τρέψις καὶ ψυχαγωγία ἀπὸ τοῦ ἀηδοῦς ἐπὶ τὸ κρεῖσσον. Εὐθυμία δὲ, βραχεῖα ψυχῆς χαρά. Ἡδονὴ δὲ, ἐκ ψυχῆς ἀρεστία· Ἀπόλαυσις δὲ, ἕξις κοινῶς ἐπὶ πάσης μεταλήψεως τασσομένη, ἀγαθῆς τε καὶ φαύλης.

Χειμάζειν, οὐ μόνον τὸ παραχειμάζειν, ἀλλὰ καὶ τὸ ἐνοχλεῖν· ὡς Μένανδρος ἐν Ἡνιόχῳ.

Χλαῖναν καὶ Χλανίδα διαφέρειν φησὶ Τρύφων ἐν τῷ πέμπτῳ περὶ Ἑλληνισμοῦ, καὶ παρατίθεται Ξενοφῶντα· Χλαίνας μὲν γάρ φησι λέγεσθαι ἐπὶ τῶν ἐγκοιμήτρων καὶ παχέων· διὸ καὶ Ὅμηρον φάναι·

Ἔνθα οἱ ἐκθεῖσαι πυκινὸν λέχος, ἐμβάλετ' εὐνὴν,
Δέμνια, καὶ χλαίνας, καὶ ῥήγεα σιγαλόεντα.

Χλανίδας δὲ, τὰς φορουμένας καὶ μαλακωτέρας. ἀντιπίπτει τῷ παρατηρήματι,

Χλαῖναν πορφυρέην ἀντ' ὀφθαλμοῖσιν ἐπισχών.

μήποτε οὖν ἄμεινον λέγειν, τὰς μὲν Χλαίνας ἐπὶ τῶν ἐγκοιμήτρων, καὶ φορουμένων. Χλανίδας δὲ, ἐπὶ μόνων τῶν φορουμένων, οὐκέτι δὲ ἐπὶ τῶν ἐγκοιμήτρων.

Χλαμὺς καὶ Χλαῖνα διαφέρει. καθὸ διὰ πολλῶν ἀπέδειξε Δίδυμος ἐν ὑπομνήματι δευτέρῳ Ἰλιάδος. ἡ μὲν Χλαῖνα ἡρωϊκὸν φόρημα. Χλαμὺς δὲ, Μακεδονικὸν, μετὰ ἑξακοσία ἔτη τῶν ἡρωϊκῶν ὀνομασθεῖσα. Σαπφὼ πρώτη γὰρ μέμνηται τῆς Χλαμύδος· διαφέρειν φησὶ καὶ τῷ σχήματι. ἡ μὲν γὰρ Χλαῖνα, τετράγωνον (φησὶν) ἱμάτιον· ἡ δὲ Χλαμὺς εἰς τέλειον περὶ τὰ κάτω συνῆκται· καὶ τοὺς χρησαμένους πολὺ καὶ ἀπ' ἀλλήλων διεστάναι. προσάγεται Ἀριστοτέλην, Φύλαρχον, Πολέμωνα, ὅτι πολὺ διαφέρουσι.

Χιτώνιον καὶ Χιτωνίσκος διαφέρει. Χιτωνίσκος μὲν γὰρ, ὁ τοῦ ἀνδρὸς χιτών. Χιτώνιον δὲ, τὸ τῆς γυναικὸς ἔνδυμα.

Χόας συνεσταλμένως, τὴν ἑορτήν. Ἀριστοφάνης Ἀχαρνεῦσιν,

Ἀκούετε λεὼς κατὰ τὰ πάτρια τῆς χόας.

Χοᾶς δὲ περισπωμένως, ἐπὶ μέτρων τοῦ οἴνου.

Χορήγιον καὶ χορηγὸς διαφέρει. Χορήγιον μὲν, τὸ διδασκαλεῖον, καὶ Χορηγὸς, ὁ διδάσκαλος. Χορὸς δὲ, τὸ σύστημα τῶν παίδων καὶ τῶν ᾀδόντων.

Χολάδες καὶ Χόλικες διαφέρει. Χολάδες μὲν γὰρ, τὰ ἔντερα.

Χύντο χαμαὶ χολάδες.

Χόλικες δὲ, αἱ τῶν βοῶν κοιλίαι. Ἀριστοφάνης Βαβυλωνίοις,

Ἢ βοϊδαρίων τις ἀπέκτεινε ζεῦγος, χολίκων ἐπιθυμῶν.

Χρήστας, καὶ δανειστὰς λεκτέον, καὶ τοὺς χρεωφειλέτας.

Χρηστήριον ὁ τόπος, καὶ ὁ χρησμὸς, καὶ τὸ ἱερόν.

Χύτραι καὶ Χυτρεῖα διαφέρει. Χύτραι μὲν γὰρ, καὶ αὐτὰ τὰ σκεύη, καὶ τὰ χυτροπωλεῖα. Χυτρεῖα δὲ, τὰ τῶν χυτρῶν ὄστρακα.

Ψ.

Ψάλλιον καὶ Ψέλλιον διαφέρει. Ψάλλιον μὲν, τὸ τοῦ ἵππου· Ψέλλιον δὲ, τὸ ἄκροις βραχίοσι περιτιθέμενον κόσμιον· οἱ Δωριεῖς Ψέλλιον καλοῦσι τὸ ἄκρον. ὅθεν καὶ ἡμεῖς τὴν ἐπ' ἄκρων χειλέων λεγομένην προσῳδίαν, Ψιλὴν ἐκαλέσαμεν, ὥς φησι Τρύφων.

Ψάμαθος καὶ Ἄμαθος διαφέρει. Ψάμαθον μὲν γὰρ, τὴν παραθαλασσίαν ἄμμον·

—— ἐπὶ ψαμάθοις ἁλίῃσιν.

Ἄμαθον δὲ, τὴν κόνιν·

—— τύχε γὰρ ἀμάθοιο βαθείας.

Ω.

Ὥρα, δασέως, τοῦ ἔτους, καὶ τῆς ἡμέρας· ψιλῶς δὲ, ἡ φροντίς.

Ὠνήσασθαι καὶ Ἀγοράσαι διαφέρει. Ὠνήσασθαι μὲν γάρ ἐστι τὸ πρίασθαί τι τῶν πωλουμένων· Ἀγοράσαι δὲ, καὶ τὸ ἐν ἀγορᾷ διατρίψαι.

Ὠτειλὴ καὶ Οὐλὴ διαφέρει. Ὠτειλὴ μὲν γάρ ἐστι τὸ πρόσφατον τραῦμα, παρὰ τὸ οὐτᾶσθαι. Οὐλὴ δὲ, ἡ ὑγιασμένη σὰρξ ἐκ τραύματος παλαιοῦ. ὡς Ὅμηρος,

Οὐλὴν τήν ποτέ μιν σῦς ἤλασε λευκῷ ὀδόντι.

INDEX AUCTORUM,

QUI AB AMMONIO CITANTUR.

Æschines, ἐν τῷ κατὰ Κτησιφῶντος. in Voce Μάγον.
——— ἐν τῷ κατὰ Τιμάρχου. in V. Κέλης. et in Κίθαρις.
Æschylus, in V. Θεωρός.
——— ἐν Ἀμυμώνῃ. V. Γῆμαι.
Alcman, V. Ἴπες.
Alexion, ἐν Ἐπιτομῇ τῶν Διδύμου Συμμίκτων. V. Γέρων.
Ammonius ὁ Λαμπρεὺς, ἐν πρώτῳ περὶ Θυσιῶν. V. Βωμός.
Anacreon. V. Γῆμαι.
——— ἐν δευτέρῳ. V. Διαβόητος.
Antiphanes, ἐν Ἀφροδίτης γοναῖς. V. Λυχνίον.
Antiphon, ἐν τῇ Τέχνῃ. V. Σημεῖον.
——— ἐν τοῖς Φονικοῖς. V. Ἐνθύμημα.
Apollodorus, ἐν Ἐφήβοις. V. Σχισταί.
Apollonides ὁ Νικαεὺς, ἐν τῷ τρίτῳ περὶ Κατεψευσμένων. V. Κατοίκησις.
——— ἐν ὑπομνήματι περὶ παραπρεσβείας Δημοσθένους. V. Ὄφλειν.
Archilochus. V. Αἶνος. Ῥόδον.
Aristocles ὁ Ῥόδιος, ἐν τῷ περὶ Ποιητικῆς. V. Ἐπικήδειος.
Aristonicus, ἐν Ὑπομνήματι. V. Ὀλίγον.
Aristophanes [*Grammaticus*] V. Ἄῤῥωστος.
——— περὶ Ἀνθρώπου γενέσεως καὶ αὐξήσεως ἄχρι γήρως. (*ex conjectura*) V. Γέρων.
——— V. Ἀλοᾶν. Καταχύματα. [Παρειαί.] Ὑπάγειν.
——— Ἀχαρνεῦσιν. V. Χόας.
——— Βαβυλωνίοις. V. Χολάδες.
——— Κόραις. V. Διέφθαρται.
——— ἐν Λημνίαις. V. Τύραννον.
——— ἐν Νεφέλαις. V. Ἐδίδαξε. et Κύπτειν.
Aristoteles. V. Βίος. Χλαμύς.
——— ἐν Δικαιώμασι τῶν πολέμων. V. Νῆες.
Aristoxenus, ἐν τῷ περὶ Ὀργάνου. V. Κίθαρις.
——— ὁ Μουσικὸς, ἐν τῷ πρώτῳ νόμῳ Παιδευτικῶν. V. Αἰδώς.
——— ἐν τῷ πρώτῳ Τραγῳδοποιῶν περὶ Νεωτέρων. V. Ῥύεσθαι.
Ascalonita. V. Τρίετες.
Asclepiades. V. Ἅμα.
Cæcilius [*sub testimonio Lysimachidæ*] V. Θεωρός.
Callimachus. V. Αἶνος. Αὖθις. Γράμμα. Οὕνεκα. Φθῖοι.
——— ἐν Ἑκάλῃ. V. Τοὔνεκα.
Demosthenes. V. Πομπή.
——— ὁ Ῥήτωρ. V. Αἰκίαι.
——— ἐν τῷ κατὰ Ἀνδροτίωνος. V. Πότος.
——— ἐν τῷ πρὸς Βοιωτόν. V. Ξενίζειν.
——— ἐν τῷ πρὸς Πανταίνετον. V. Παῖδα.
——— ἐν τῷ περὶ στεφάνου. V. Βασκαίνειν.
——— ἐν τῷ κατὰ Στεφάνου ψευδομαρτυριῶν. V. Καταχύματα.
——— ἐν τῷ κατὰ Τιμοκράτους. V. Ὅσιον.
——— ἐν Φιλιππικοῖς. V. Παρέχειν.
Didymus. V. Συμμαχεῖν.
——— ἐν ὑπομνήματι Βακχυλίδου Ἐπινικίων. V. Νηρεΐδες,

Didymus, ἐν ὑπομνήματι δευτέρῳ Ἰλιάδος. V. Λητουργεῖν. Χλαμύς.
——— ἐν ὑπομνήματι τῷ πρώτῳ τῶν Παιάνων Πινδάρου, V. Θηβαῖοι.
——— ἐν δεκάτῳ Ῥητορικῶν ὑπομνημάτων. V. Νῆες.
Dinarchus, ἐν τῷ κατὰ Κλεομέδοντος αἰκίας. V. Μαρτυρία et V. Ἐκμαρτυρία.
Diphilus, ἐν Πύῤῥᾳ. V. Εὑρεῖν.
Ephorus, ἐν τῇ δευτέρᾳ. V. Θηβαῖοι.
Eubulus, ὁ τῆς μέσης κωμῳδίας ποιητὴς, ἐν Καλαθηφόροις. V. Ἔνδον.
Euphemus. V. Ἴσθι.
Eupolis, ἐν Βάπταις. V. Ὑπάγειν.
——— ἐν Δήμοις. V. Τύραννον.
——— ἐν Ταξιάρχοις. V. Ἀμυγδαλῆ.
——— Φίλοις. V. Σχισταί.
Euripides. V. Ἀῤῥωδεῖν. [Θεωρός.] Κύειν.
——— ἐν Ἀλόπῃ. V. Τροχοί.
——— ἐν Ἡρακλείδαις. V. Ἔνδον.
——— ἐν Ὀρέστῃ. V. Μεταβάλλεσθαι.
——— ἐν Πλεισθένει. V. Βωμός.
——— ἐν Τηλέφῳ. V. Πρόξενος.
Heraclides. V. Ἱκέσθαι.
——— ὁ ἡμέτερος. V. Σταφυλήν.
——— ἐν πρώτῃ περὶ Καθολικῆς Προσῳδίας. V. Νῦν.
Herodotus. V. Ἱερεῖον. Μάγον. Τύραννον.
——— ἐν τῷ πρώτῳ. V. Ξυστόν.
——— ἐν τῇ τετάρτῃ. V. Δέος.
Hesiodus. V. Αἶνος. Βωμός. Ζῆλος. Ἡμέρα. Μετρεῖσθαι. Ὄρθρος. (Οὗτος. Ὀψέ.)
Homeri loca, pagg. 826. 827. 828. 829. 830. 831. 832. 833.
Hyperides ἐν τῷ κατὰ Ἀρχιστρατίδου. V. Ἱερά.
[*Incertorum fragmenta*. V. Ακαρής. Ἀναγκάζειν. Διαβόητος. Εὐθύς. Ἐπικηρύξαι. Ἑσπέρα. Κατοίκησις. Κέδρος. Λητουργεῖν. Οἰκίζεται. Ὀλίγον. Οὐδέν. Πρόξενος.]
Lysimachides, ἐν τῷ πρὸς Καικίλιον περὶ τῶν παρὰ τοῖς Ἀττικοῖς ῥητόρων. V. Θεωρός.
Lucius ὁ Ταῤῥαῖος, ἐν τῷ πρώτῳ Παροιμιῶν. V. Αἶνος.
Menander. V. Ἁρπαγή. Κηρύξαι. Πότος.
——— Ἀδελφοῖς. V. Διέφθαρται.
——— ἐν Δακτυλίῳ. V. Παιδίσκη.
——— ἐν Δυσκόλῳ. V. Εὑρεῖν. Εὐθύς.
——— ἐν Ἡνιόχῳ. V. Ἁρπαγή. Χειμάζειν.
——— ἐν Ἥρωϊ. V. Ἴσθι.
——— ἐν Νομοθέταις. V. Λυχνίον.
——— ἐν Παιδίῳ. V. Δικαστής.
——— ἐν Παρακαταθήκῃ. V. Θύρα.
——— ἐν τῷ Ὑμνίδι. V. Αἰτῶ.
——— Ὑποβολιμαίοις. V. Λέμβοι.
——— ἐν Ψευδηρακλεῖ. V. Ἦς.
Mnaseas, ἐν τοῖς περὶ τῆς Εὐρώπης. V. Νηρεΐδες.
Neanthes ὁ Κυζικηνὸς, ἐν τρίτῳ τῶν κατὰ πόλιν.
Nilus. V. Πειραστής.
Philemon ὁ Αἰξωνεὺς, V. Πόνηρον (*citatur a Tryphone.*)
[*Philosophi*. V. Ἐρωτᾷν. Λαλεῖν.]
Phylarchus. V. Χλαμύς. (*sub teste Didymo.*)
Pindarus. V. Δίσκος.
Plato. V. Πρῶτος.
——— ἐν Ὅροις. V. Παίδευσις.
——— ἐν Πρωταγόρᾳ. V. Δύναμις. Εὐφραίνεσθαι. Ἴσοι.
——— ἐν Σοφιστῇ. V. Λαλεῖν.
[ἔνιοι τῶν Ποιητῶν. V. Διαβόητος.]
Polemo, V. Χλαμύς. (*fide Didymi*)
Posidippus. V. Βάρις. (*ex conjectura.*)
Potamo. V. Ἐρωτᾷν.
Ptolemæus, ἐν πρώτῳ περὶ Ἡρῴδου τοῦ Βασιλέως. V. Ἰδουμαῖοι.
——— ὁ Ἀσκαλωνίτης. V. Τρίετες.
——— ἐν δευτέρᾳ τῶν ἐν Ἰλιάδι Προσῳδιῶν. V. Σταφυλήν.
——— ἐν δευτέρᾳ περὶ τῶν ἐν Ὀδυσσείᾳ Προσῳδιῶν. V. Σταφυλήν.
Pythia. V. Κωφός.
Sappho. V. Ἄρτι. [*citatur Didymo in V.* Χλαμύς.]
Solon, ἐν τοῖς Ἄξοσιν. V. Οἰκότριψ.
Sophocles, ἐν Ἠλέκτρᾳ. V. Ἐνταυθοῖ.
——— ἐν Τραχινίαις. V. Ἔνδον.
——— ἐν Χρύσῃ. V. Βωμός.
Sophron. V. Πῦς.
Theopompus. V. Διαπολιτευέσθαι.
——— ἐν εἰκοστῇ ἕκτῃ. V. Ἱερά.
Thucydides. V. Ἄγγελος. Μοχθηρός. Παρέχειν. Πρόξενος. Φάκελος.
——— ἐν τῇ πρώτῃ. V. Συμμαχεῖν.
Trypho. V. Δήμητερ. Ἐπικήδειος. Πόνηρον. Ψάλλιον.
——— ἐν πέμπτῳ περὶ Ἑλληνισμοῦ. V. Δίσκος. Χλαῖναν.
——— ἐν δευτέρῳ περὶ Ἀττικῆς Προσῳδίας. V. Ἐξανέψιοι. Θαλαμάς. Μισησή Τροχοί.
——— ἐν τῷ τρίτῳ περὶ Ἀττικῆς Προσῳδίας. V. Ἁρπαγή.
[**Veteres**, οἱ παλαιοὶ, in V. Γράμμα. Κωφός. Μετρεῖσθαι. † τινὲς τῶν ἀρχαίων.. In V. Εὐθύς. † οἱ ἀρχαῖοι, V. Εὐθύς. Τύραννον.]
Xenophon. V. Χλαῖναν. (*citatus Tryphoni*)
——— ἐν τῇ Ἀναβάσει. V. Ἀποδράναι.
Xenophon. ἐν Οἰκονομικῷ. V. Ξυστόν.
Zenodotus. V. Οὐδέν.

ΕΡΑΝΙΟΥ ΦΙΛΩΝΟΣ
ΠΕΡΙ
ΔΙΑΦΟΡΑΣ ΣΗΜΑΣΙΑΣ
Κατ᾽ Ἀλφάβητον.

Ἆθλον Ἐπάθλου διαφέρει. Ἆθλον μὲν γὰρ καλεῖται ὁ ἀγών· Ἔπαθλον δὲ, τὸ διδόμενον τῷ νικήσαντι δῶρον.

Ἄστρον Ἀστέρος διαφέρει. Ἄστρον μὲν γάρ ἐστι τὸ ἐκ πολλῶν ἀστέρων συνιστάμενον σχῆμα· Ἀστὴρ δὲ, ὁ μονομερής.

Ἀστρολογία Ἀστρονομίας διαφέρει. Ἀστρονομία μὲν γάρ ἐστιν ἡ κατάληψις τῶν ἄστρων· Ἀστρολογία δὲ, ἡ τὰ, ἐκ τῶν κινήσεων τῶν ἀστέρων, ἀποτελέσματα δηλοῦσα ἐπιστήμη.

Ἀράχνη καὶ Ἀράχνης διαφέρει. Ἀράχνη μὲν γάρ ἐστι τὸ λεπτότατον ὕφασμα τοῦ ζώου· Ἀράχνης δέ ἐστιν αὐτὸ τὸ ζῶον, ἀρσενικῶς ἐκφωνούμενον.

Ἀνὴρ Ἀνθρώπου διαφέρει. Ἀνὴρ μὲν γάρ ἐστι κυρίως ὁ ἐπ᾽ ἀρετῇ διαπρέπων· Ἄνθρωπος δὲ, ὁ ἐπὶ μηδενὶ διαπρέπων.

Ἄγροικος βαρυτόνως, καὶ Ἀγροῖκος προπερισπωμένως διαφέρει. Ἄγροικος μὲν γὰρ ὁ γνώσεως ἄμοιρος, ἢ ὁ ἐν τῷ ἀγρῷ οἰκῶν· Ἀγροῖκος δὲ προπερισπωμένως, ὁ μὴ ἥμερος, ἴσος τῷ ἄγριος.

Ἀποκήρυκτος καὶ Ἐκποίητος διαφέρει. Ἀποκήρυκτος μὲν γάρ ἐστιν ὁ ἐπ᾽ ἀδικήμασι τισὶ τῆς οἰκίας ἐκβληθείς· Ἐκποίητος δὲ, ὁ δοτὸς εἰς ποιητά.

Ἀπεκήρυξε καὶ Ἐπεκήρυξε διαφέρει. Κηρύξαι μὲν γὰρ, καὶ Ἀποκηρύξαι λέγεται ἐπὶ τῷ ὑπὸ κήρυκι ἀποδεδόσθαι τι. Μένανδρος, ἀπεκήρυξεν αὐτὴν Ἀγαμέμνων. οἷον ἐπὶ κήρυκι ἀπώλεσεν. Ἐπικηρύξαι δὲ, τὸ ὑποσχέσθαι χρήματα.

Ἀρνειοὶ καὶ Ἄρνες διαφέρουσιν. Ἀρνειοὶ μὲν γὰρ οἱ τέλειοι· Ἄρνες δὲ, οἱ νέοι.

Ἀπαράσκευος καὶ Ἀπαρασκεύαστος διαφέρει. ὁ μὲν γὰρ δι᾽ ἑαυτοῦ τὴν χορηγίαν ἔχων, Ἀπαράσκευος ἂν λέγοιτο· ὁ δὲ ἐξ ἑτέρου, Ἀπαρασκεύαστος.

Ἀλίπαστον Ἁλισπάρτου διαφέρει. τὸ μὲν γὰρ ἁλσὶ πεπασμένον κρέας, Ἀλίπαστον λέγεται· Ἁλίσπαρτον δὲ, ἡ ἁλσὶ κατεσπαρμένη χώρα. ὥς τινες τῶν παλαιῶν πεποιήκασιν. δυσμενῶς γὰρ πρὸς τοὺς ἕλληνας διακείμενοι, τὰς χώρας αὐτῶν ἁλσὶ κατέσπειρον, εἰς τὸ μηκέτι δύνασθαι φέρειν καρπούς.

Ἄγειν καὶ Φέρειν διαφέρει. Ἄγεται μὲν γὰρ τὰ ἔμψυχα· Φέρεται δὲ, τὰ ἄψυχα.

Ἄῤῥωστος Ἀῤῥωστοῦντος διαφέρει. Ἄῤῥωστος μὲν γάρ ἐστιν ὁ ἀδυνατῶν ἐπιτελεῖν τι κατὰ τὰς ὀρέξεις· Ἀῤῥωστεῖ δὲ ὁ νοσῶν. οὕτως Ἀριστογεῖ δοκεῖ.

Αὖθις, καὶ Αὖθι χωρὶς τοῦ σ, διαφέρει. Αὖθις μὲν γὰρ τὸ πάλιν, ἢ μετὰ ταῦτα· Αὖθι δὲ, τὸ αὐτόθι.

Ἀῤῥωδεῖν καὶ Ὀῤῥωδεῖν διαφέρει. τὸ μὲν γὰρ Ὀῤῥωδεῖν σημαίνει τὸ εὐλαβεῖσθαι, καθὰ Εὐριπίδης τὸν Περσέα εἰσάγει λέγοντα,

Τὰς συμφορὰς γὰρ τῶν κακῶς πεπραγότων
Οὔπώποθ᾽ ὕβρισ᾽ αὐτὸς ὀῤῥωδῶν παθεῖν.

τὸ δὲ Ἀῤῥωδεῖν, τὸ ἐναντίον, τοῦτ᾽ ἔστιν οὐκ εὐλαβεῖσθαι, ἀλλὰ θαῤῥεῖν καὶ καταφρονεῖν.

Ἀπόνοια Ἀνοίας διαφέρει. Ἀπόνοια μὲν γὰρ μανία τίς ἐστιν καὶ ὑπερηφανία μισουμένη· ἡ δὲ Ἄνοια, στέρησις φρενῶν οὖσα, ἐλεεῖται μᾶλλον ἢ μισεῖται.

Ἀμύνεσθαι καὶ Ἀμύνειν διαφέρει. Ἀμύνεσθαι γάρ ἐστι τὸ κολάζειν τοὺς ἀδικήσαντας· Ἀμύνειν δὲ, τὸ βοηθεῖν.

Ἀτελὲς καὶ Ἀτέλεστον διαφέρει. Ἀτελὲς μὲν γάρ ἐστι τὸ μήπω τετελεσμένον· Ἀτέλεστον δὲ, τὸ μὴ δυνάμενον τελεσθῆναι.

Αἰτῶ καὶ Αἰτοῦμαι διαφέρει. τὸ μὲν γὰρ Αἰτῶ, ἐπὶ τοῦ λαβεῖν καὶ μὴ ἀποδοῦναι· τὸ δὲ Αἰτοῦμαι ἐπὶ τοῦ χρῆσθαι εἰς ἀπόδοσιν. ὡς καὶ Μένανδρος διαστέλλει τὴν διαφορὰν,

Οὐ πῦρ γὰρ αἰτῶν, οὐδὲ λοπάδ᾽ αἰτούμενος.

οἱ οὖν ἐναλλάσσοντες ταῦτα ἀκυρολογοῦσι.

Αἰδὼς καὶ Αἰσχύνη διαφέρει. Αἰδὼς μὲν γάρ ἐστιν ἡ ἀτροπὴ πρὸς ἕκαστον οὕτω σεβασμίως ἔχειν· Αἰσχύνη δὲ, ἐφ᾽ οἷς ἕκαστος ἁμαρτάνων αἰσχύνεται. ὡς τὸ, Αἰδεῖται μὲν τὸν πατέρα, Αἰσχύνεται δὲ μεθύσκεσθαι.

Ἄμητος καὶ Ἀμητὸς διαφέρει. Ἄμητος γὰρ ὁ καιρὸς τοῦ θέρους· Ἀμητὸς δὲ, ὁ θερισμός.

Ἀπολείπει καὶ Ἐκβάλλει διαφέρει. Ἀπολείπει μὲν ἡ γυνὴ τὸν ἄνδρα· Ἐκβάλλει δὲ ὁ ἀνὴρ τὴν γυναῖκα.

Ἀντικρὺ μὲν τὸ ἐπ᾽ εὐθείας, ὀξυτόνως· Ἄντικρυς δὲ, τὸ διαῤῥήδην καὶ φανερῶς.

Ἀμφὶ μὲν σημαίνει τὸ περί· Ἀμφὶς δὲ, τὸ χωρὶς, ἀμφοτέρωθεν.

Ἀκταὶ μὲν οἱ πετρώδεις τόποι ἐν τῇ θαλάσσῃ· Θῖνες δὲ, οἱ αἰγιαλοί.

Ἀναφορὰ καὶ Εἰσφορὰ διαφέρει. Ἀναφορὰ γάρ ἐστι τὸ ὑποτεταγμένων δούλων τελούμενον τοῖς δεσπόταις· τὸ δὲ ὑπὸ τῶν πολιτῶν δημοσίᾳ διδόμενον τέλος, Εἰσφορά.

Ἁρπαγὴ μὲν γὰρ ἡ αἰφνίδιος ἁρπαγὴ, καὶ ἀφαίρεσις μετὰ βίας· Ἁρπάγη δὲ, ὡς ἀνάγκη.

Ἀσφόδελος, τὸ φυτόν· Ἀσφοδελὸς δὲ, τόπος, ἐν ᾧ ὁ ἀσφόδελος γίνεται.

Ἀνδραγαθία Ἀνδρείας διαφέρει. Ἀνδρεία μὲν γάρ ἐστι δύναμις σώματος ἐπαινουμένη· Ἀνδραγαθία, τῆς κατὰ ψυχὴν ἀρετῆς μαρτυρία.

Ἅμα καὶ Ὁμοῦ διαφέρει. Ἅμα μὲν γάρ ἐστι χρονικὸν ἐπίῤῥημα· Ὁμοῦ δὲ, τοπικόν. Ἅμα μὲν οὖν ἐγένοντο Σκύθαι, εἴ περ κατὰ τὸν αὐτὸν χρόνον ἤκμασαν· Ὁμοῦ μέντοι οὐκέτι, οὐ γὰρ ἐν τῷ αὐτῷ τόπῳ ἐγεννήθησαν, ἀλλ᾽ οἱ μὲν Ἕλληνες Ἀθήνῃσι, οἱ δὲ ἐν Σκυθίᾳ.

Αἶνος καὶ Παροιμία διαφέρει. ὁ μὲν γὰρ Αἶνος, ὃς καὶ παραίνεσις λέγεται, ἔστι λόγος μυθικὸς ἐκφερόμενος ἀπὸ ἀλόγων ζώων, ἢ φυτῶν, πρὸς ἀνθρώπων παραίνεσιν· Παροιμία δὲ, τὴν ἀπὸ τοῦ κεφαλαίου ἐπὶ στοιχεῖον ἀναφορὰν ἐνδέουσαν τοῦ αἴνου.

Ἄρτι καὶ Ἀρτίως διαφέρει. Ἄρτι μὲν γάρ ἐστι χρονικὸν ἐπίῤῥημα· τὸ δὲ Ἀρτίως, ἐπὶ τοῦ ἀπηρτισμένου καὶ τελείου.

Ἆρα καὶ Ἄρα διαφέρει. ὁ μὲν γὰρ μετὰ προπερισπωμένης λεγόμενος, σύνδεσμος ἀπορηματικός ἐστιν· ὅταν διαποροῦντες λέγομεν, ἆρα πῶς ἕξει τὸ πρᾶγμα. ὁ δὲ κατὰ συστολὴν, ἐπὶ παρῳχηκότος χρόνου. ὡς τὸ, Ἀλλ᾽ ἆ μὲν γὰρ ἀκράτιστε βασιλεῦ.

Αἴθε καὶ Ὤφελον διαφέρει. τὸ μὲν γάρ ἐστιν ἀπαρέμφατον πρόσωπον· τὸ δὲ Ὤφελον ἐμφαίνει πρόσωπον. Ἄλλως, τὸ μὲν Αἴθε ἐστὶν ἐπίῤῥημα· τὸ δὲ Ὤφελον, ῥῆμα καὶ ἐπίῤῥημα.

Ἆθλος ἀρσενικῶς καὶ Ἆθλον οὐδετέρως διαφέρει. ἀρσενικῶς μὲν γὰρ τὸν ἀγῶνα δηλοῖ· οὐδετέρως δὲ, τὸ ἔπαθλον.

Β.

Βασιλεὺς καὶ Κοίρανος καὶ Ἡγεμὼν διαφέρει. Βασιλεὺς μὲν γάρ ἐστιν, ὁ πατρόθεν ἢ ἐκ γένους τὴν ἀρχὴν παραλαβών· Κοίρανος δὲ, ὁ πρὸς καιρία τὸ τοῦ βασιλέως ἔργον ἐπιτελῶν· Ἡγεμὼν δὲ, ὁ τάξεως στρατιωτικῆς ἡγούμενος.

Βίος μὲν λέγεται ἡ λογικὴ ζωή· Ζωὴ δὲ, ἡ χρῆσις τῆς ψυχῆς. καὶ Βιοῦν ἐπὶ ἀνθρώπων μόνον λέγεται· Ζῇν δὲ, καὶ ἐπὶ ἀνθρώπων, καὶ ἐπὶ ζώων.

Βλέφαρα μὲν αὐτὰ τὰ ἐπικλειόμενα δέρματα· Βλεφαρίδες δὲ, αἱ ἐπὶ τῶν βλεφάρων τρίχες.

Βοῦς μὲν ὁ τέλειος· Μόσχος δὲ, ὁ νεογνός. ἀφ᾽ οὗ καὶ Μοσχία, ἡ νέα.

Γ.

Γαμήλιον καὶ Ἐπιθαλάμιον διαφέρει. Ἐπιθαλάμιον μὲν γάρ ἐστι τὸ ἐπὶ θαλάμῳ τῆς γαμουμένης γραφὲν ποίημα.

Γαμήλια καὶ Γαμηλία διαφέρει. Γαμήλια μὲν γὰρ τὰ τελούμενα ἐν τῇ ἡμέρᾳ, ἐν ᾗ ὁ γάμος τελεῖται· Γαμηλία δὲ, ἡ εἰς τὸν χαρτοφύλακα διδομένη ἐγγραφή.

Γέρων καὶ Πρεσβύτης καὶ Προβεβηκὼς διαφέρει. Λεκτέον δὲ περὶ ἀνθρώπου γενέσεως καὶ αὐξήσεως μέχρι γήρως. Βρέφος μὲν γὰρ, τὸ γεννηθὲν ἀρτίως· Παιδίον δὲ, τὸ τρεφόμενον ὑπὸ τῆς τιθηνοῦ· Παιδάριον δὲ, τὸ ἤδη περιπατοῦν καὶ τῆς λέξεως ἐχόμενον. Παιδίσκος δὲ, ὁ ἐν τῇ ἐχομένῃ ἡλικίᾳ· Παῖς δὲ, ὁ διὰ τῶν ἐγκυκλίων μαθημάτων δυνάμενος ἰέναι· μετὰ ταῦτα Ἡλικιώτης· εἶτα Ἔφηβος· ὁ δὲ μετὰ ταῦτα Μειράκιον, ἢ Μεῖραξ. εἶτα Νεανίσκος, καὶ Νεανίας. ὁ δὲ τριακονταέτης, Ἀνήρ. εἶτα Προβεβηκὼς, ὃν καὶ Ὠμογέροντα καλοῦσιν· εἶτα Γέρων· εἶτα Πρεσβύτης· εἶτα Ἐσχατογέρων.

Δ.

Δοῦλοι Οἰκέται καὶ Θεράποντες διαφέρουσιν. Δοῦλοι μὲν γὰρ καὶ τῶν ἡδονῶν λέγονται, καὶ πάντες ὑποτεταγμένοι τῷ βασιλεῖ· Οἰκέται δὲ, οἱ ἀργυρώνητοι· Θεράποντες δὲ, οἱ ὑποτεταγμένοι φίλοι, ὑφ᾽ ὧν θεραπεύονται οἱ προσήκοντες. ὡς Ἀχιλλεὺς καὶ Πάτροκλος.

Διαβόητος καὶ Ἐπιβόητος διαφέρει. Διαβόητος μὲν γὰρ, ὁ ἐπ᾽ ἀρετῇ βοώμενος· Ἐπιβόητος δὲ, ὁ μοχθηρὰν ἔχων φήμην.

Διπλοῦν καὶ Διπλάσιον διαφέρει. Διπλοῦν μὲν γὰρ κατὰ τὸ μέγεθος. Διπλάσιον δὲ, κατὰ τὸν ἀριθμόν.

Ε.

Ἔνδοξος καὶ Ἐπίδοξος διαφέρει. ὁ μὲν γὰρ ἐπίσημος. Ἐπίδοξος δὲ, ὁ προσδοκώμενος.

Ἑταῖρος καὶ Φίλος καὶ Ξένος διαφέρει. Ἑταῖρος μὲν γὰρ, ὁ σύνεργος καὶ ἐν παντὶ συναιρόμενος. Φίλος δὲ, ὁ ἀπὸ συμποσίου γεγονώς. Ξένος δὲ, ὁ ἀπὸ ξενιτείας φίλος.

Ἔκγονος καὶ Ἀπόγονος διαφέρει. Ἔκγονος μὲν γὰρ ὁ υἱός· Ἀπόγονος δὲ, ὁ τοῦ υἱοῦ υἱός.

Ἐπίκουροι καὶ βοηθοὶ διαφέρουσιν. Ἐπίκουροι μὲν γάρ εἰσιν οἱ τοῖς πολεμουμένοις ἐπικουροῦντες, ὡς τοῖς Τρωσίν. Βοηθοὶ δὲ, οἱ σύμμαχοι τῶν πολεμούντων, ὡς τῶν Ἑλλήνων.

Ἕρκος καὶ Ἑρκίον διαφέρει. Ἕρκος ἐπὶ πόλεων. Ἑρκίον ἐπὶ ἐπαύλεων.

Εἰκότα Ἐοικότων διαφέρει. τὰ μὲν πίστεως ἐχόμενα, Εἰκότα· τὰ δὲ ἐμφερῆ, Ἐοικότα.

Ἐχθρὸς Πολεμίου καὶ Δυσμενοῦς διαφέρει. Ἐχθρὸς μὲν γάρ ἐστιν, ὁ πρότερον φίλος· Πολέμιος δὲ, ὁ δι᾽ ὅπλων χωρῶν πρὸς τοὺς πέλας· Δυσμενὴς δὲ, ὁ χρόνιον πρὸς τοὺς ποτὲ φίλους ἔχθραν διατηρῶν.

Ἐρωτᾷν καὶ Πυνθάνεσθαι διαφέρει. Πυνθάνεσθαι μὲν γάρ ἐστι τὸ κατὰ ἀκοὴν διεξοδικῶς ἀκούειν τὰ ὑπό τινος λεγόμενα, αὐτὸν οὐδὲν ἐρωτῶντα· Ἐρωτᾷν δὲ, τὸ θέλειν κεφαλαιώδη τινὰ λαβεῖν ἀπόφασιν.

Ἐρώτησις Πεύσεως καὶ Ἀνακρίσεως διαφέρει. Ἐρώτησις μὲν γάρ ἐστι ζήτησις ἀποκρίσεως σύντομος· Πεῦσις δὲ, μακρᾶς πράξεως ἀπαγγελία· Ἀνάκρισις δὲ, δευτέρα ἐξέτασις.

Ἔσται τοῦ Γενήσεται διαφέρει. Ἔσται μὲν γὰρ τὰ νῦν ὄντα· Γενήσεται δὲ, τὰ γεννήσεως τευξόμενα.

Ἐρᾷν τοῦ Ποθεῖν διαφέρει. Ἐρᾷν μὲν γάρ ἐστι τὰ ἐν ὄψει. Ποθεῖν δὲ, τὰ ἀπόντα.

Εὔμορφος Εὐειδοῦς διαφέρει. Εὔμορφος μὲν γάρ ἐστιν ὁ εὐπρόσωπος. Εὐειδὴς δὲ, ὁ τὸ εἶδος καλὸν ἔχων, οἷον ἅπαν τὸ σῶμα.

Ἔνδον πρὸς τὸ Ἔσω διαφέρει. Ἔνδον μὲν γὰρ λέγομέν ἐστιν ὁ παῖς· Ἔσω δὲ εἰσέρχομαι.

Ἐνταυθοῖ καὶ Ἐνταῦθα καὶ Ἐνθάδε διαφέρει. Ἐνταυθοῖ μὲν γὰρ τὴν ἐν τόπῳ σημασίαν δηλοῖ· Ἐνταῦθα δὲ, καὶ τὴν εἰς τόπον, καὶ ἐν τόπῳ. ὁμοίως καὶ τὸ Ἐνθάδε· τὸ δὲ Ἔνθα καὶ τὴν εἰς τόπον, καὶ ἐν τόπῳ, καὶ ἀντὶ χρονικοῦ ἐπιῤῥήματος. σημαίνει δὲ καὶ τὸ τότε. ὡς τὸ, ἔνθ' ἄλλοι μὲν πάντες. καὶ τὸ ὅπου, ὡς τὸ, ἔνθα μὲν Αἴας κεῖται. καὶ τὸ, ἔνθα κατεπλέομεν.

Ἐξ ὅσου καὶ Ἐξ ὅτου διαφέρει. Ἐξ ὅσου μὲν χρόνου· Ἐξ ὅτου δὲ, ἐξ οὕτινος.

Εὐθὺς καὶ Εὐθὺ διαφέρει. Εὐθὺς μὲν γὰρ ἀντὶ τοῦ εὐθέως· Εὐθὺ δὲ, ἀντὶ τοῦ κατ' εὐθεῖαν.

Ζ.

Ζῆλος καὶ Ζηλοτυπία διαφέρει. Ζηλοτυπία γάρ ἐστι τὸ ἐν μίσει ὑπάρχον· Ζῆλος δὲ, ἡ μίμησις τοῦ καλοῦ.

Ζώνη Ζωνίου διαφέρει. Ζώνη μὲν ἡ τοῦ ἀνδρός· Ζώνιον δὲ, τῆς γυναικός.

Η.

Ἡσυχάζειν καὶ Σιγᾷν διαφέρει. Ἡσυχάζειν μὲν τὸ ἀτρεμεῖν δι' ὅλου· τὸ δὲ Σιγᾷν ἐπὶ γλώττης μόνον.

Ἠγγύα καὶ Ἠγγυᾶτο διαφέρει. Ἠγγύα μὲν γὰρ, ἤγουν ὡμολόγει δώσειν. Ἠγγυᾶτο δὲ ὁ λαμβάνων.

Ἡμέρα Ἠοῦς διαφέρει. Ἡμέρα γάρ ἐστι τὸ αὐτόματον· Ἠὼς δὲ, ἡ πάντεσσιν ἐπιχθονίοισι φαείνει.

Ἦ ἀντὶ τοῦ ἔφη, φησὶν Ὅμηρος· διαφέρει δὲ, ὅτι τὸ μὲν Ἦ ἐπὶ μόνου τρίτου τάσσεται προσώπου· τὸ δὲ Ἔφην, Ἔφης, Ἔφη, καὶ ἐπὶ πάντων.

Θ.

Θεωρὸς καὶ Θεατὴς διαφέρει. Θεωρὸς μὲν γὰρ ὁ εἰς θεοὺς πεμπόμενος· Θεατὴς τοῦ ἀγῶνος καὶ τῶν θεάτρων. ὡς καὶ Εὐριπίδης ἐν Ἴωνι,

Πότερον θεατὴς ἢ χάριν μαντευμάτων.

ἁμαρτάνουσι γοῦν οἱ ἐναλλάσσοντες ταῦτα.

Θὴς Λάτρις καὶ Ἀμφίπολος. Θὴς μὲν γὰρ, ὁ μισθωτός· Λάτρις δὲ, ὁ κατὰ πολεμικὴν περίστασιν ἁλοὺς καὶ δουλεύων· Ἀμφίπολος δὲ, ἐπὶ θηλείας ἡ ταῖς α . . . ὑποτεταγμένη.

Ι.

Ἰσθμὸς καὶ Πορθμὸς διαφέρει. Ἰσθμὸς γὰρ ἡ μέσον δύο θαλασσῶν γῆ· Πορθμὸς δὲ, ἡ μέσον δύο γαιῶν θάλασσα.

Ἱκέσθαι καὶ Ἀφικέσθαι διαφέρει. Ἱκέσθαι μὲν γάρ ἐστι τὸ ἐλθεῖν· Ἀφικέσθαι δὲ, τὸ ἐπανελθεῖν.

Ἰουδαῖοι καὶ Ἰδουμαῖοι διαφέρουσιν. Ἰουδαῖοι μὲν γὰρ οἱ ἐξ Ἰούδα τοῦ τετάρτου παιδὸς Ἰακὼβ κληθέντες. Ἰδουμαῖοι δὲ οἱ ἐξ Ἰσαῦ τοῦ ἀδελφοῦ Ἰακώβ.

Κ.

Κύριος καὶ Δεσπότης διαφέρει. Κύριος μὲν γὰρ τῆς γυναικὸς ὁ ἀνὴρ, καὶ υἱῶν ὁ πατήρ· Δεσπότης δὲ, ὁ ἀργυρωνήτου.

Κωφὸς καὶ Ἐννεὸς ὁ αὐτὸς παρὰ τοῖς ἀρχαίοις ἐλέγετο, ἤγουν ὁ μὴ φθεγγόμενος. ὡς Ὅμηρος,

κύματι κωφῷ.

ἢ ἀψόφῳ. καὶ ἡ Πυθία,

Καὶ κωφοῦ ξυνίημι, καὶ οὐ λαλέοντος ἀκούω.

νῦν δὲ Κωφὸς, ὁ τὴν ἀκοὴν βεβλαμμένην ἔχων.

Λ.

Λῆμμα μὲν διὰ δύο μμ, τὸ κέρδος· Λῆμα δὲ δι' ἑνὸς μ, ἡ ἀνδρεία.

Λέχος καὶ Εὐνὴ διαφέρει. Λέχος μὲν γάρ ἐστιν ἡ κλίνη· Εὐνὴ δὲ, ἡ ἐπ' αὐτῆς στρωμνή.

Λαβεῖν καὶ Δέξασθαι διαφέρει. Λαβεῖν μὲν γάρ ἐστι τὸ ἀνελέσθαι μηδενὸς διδόντος· Δέξασθαι δὲ, τὸ παρά τινος προτεινόμενον.

Μ.

Μάχη καὶ Πόλεμος διαφέρει. Μάχη μὲν γὰρ ἡ ἐν πολέμοις ἐστὶν ἐνέργεια· Πόλεμος δὲ, ὁ χρόνος, καὶ ἡ πρὸς τὴν μάχην παρασκευή.

Μηρία καὶ Μηρὸς διαφέρει. Μηρία μὲν γὰρ, τὰ ἐναγιζόμενα τοῖς θεοῖς· Μηρὸς δὲ, τὰ μὴ οὕτως ἔχοντα.

Μνᾶται καὶ Μνηστεύεται διαφέρει. Μνᾶται μὲν ὁ ἀνὴρ γυναῖκα· Μνηστεύεται δὲ ἡ γυνὴ ἄνδρα.

Ν.

Νῆες τῶν Πλοίων διαφέρουσιν. Νῆες μὲν αἱ φορτηγοὶ, αἳ καὶ μέγισταί εἰσιν· Πλοῖα δὲ, τὰ προμήκη καὶ στρατιωτικά.

Νῦν καὶ Νυνὶ διαφέρει. τὸ μὲν γὰρ Νυνὶ ἐπὶ μόνου τοῦ ἐνεστῶτος· τὸ δὲ Νῦν ἐπὶ τῶν τριῶν χρόνων. ὡς τὸ, νῦν ἔσται ὁ ἀγών. νῦν ἡ μάχη πέπαυται.

Ο.

Οὗτος καὶ Οὑτοσὶ διαφέρει. Οὑτοσὶ μὲν γὰρ μετὰ τοῦ ι δεικτικοῦ μόριον. Οὗτος δὲ, δεικτικὸν καὶ ἀναφορικόν.

Οὐδὲν διὰ τοῦ δ καὶ Οὐθὲν μετὰ τοῦ θ μακρῶς διαφέρει. τὸ μὲν γὰρ Οὐδὲν δῆλον, ἐκ τοῦ οὔτε καὶ ἓν σύγκειται, ἤγουν οὔ τε ἓν, οὔ τε δύο.

Ὀλίγον καὶ Μικρὸν διαφέρει. τὸ μὲν γὰρ Ὀλίγον ἐπὶ ἀριθμοῦ· τὸ δὲ Μικρὸν ἐπὶ μεγέθους τέτακται.

Ὁ Ὄρθρος καὶ Πρωῒ διαφέρει. Ὄρθρος μὲν γὰρ ἡ πρὸ ἀνατολῆς ὥρα· Πρωῒ δὲ, τὸ ἐκ τῆς ἡλίου περιωπῆς φῶς, ὡς καὶ τὸ ὀψὲ καὶ ἑσπέρας.

Οὕνεκα καὶ Εἵνεκα διαφέρει. τὸ μὲν Οὕνεκα σημαίνει τὸ ὅτι· τὸ δὲ Εἵνεκα, ἀντὶ τοῦ χάριν.

Ὅτι καὶ Διότι διαφέρει. τὸ μὲν γὰρ Διότι αἰτίαν δηλοῖ· τὸ δὲ Ὅτι, ποτὲ μὲν αἰτίαν, ποτὲ δὲ βεβαίωσιν. αὐτίκα, ὅτι μὲν ἐκλείπει ἡ σελήνη, ἴσμεν, διότι δὲ οὐκέτι.

Οἴκαδε τοῦ Εἰς οἶκον διαφέρει. Τὸ μὲν γὰρ εἰς τὴν οἰκίαν βαδίζειν, Οἴκαδε φαμέν· τὸ δὲ εἰς ἑτέραν, Εἰς οἶκον.

Π.

Πρεσβεύειν τοῦ Πρεσβεύεσθαι διαφέρει. Πρεσβεύεσθαι τὸ μὲν πέμπειν πρέσβεις· Πρεσβεύειν δὲ τὸ πέμπειν πρεσβευτὴν οἱ Ἀττικοὶ λέγουσιν.

Πόλις καὶ Ἄστυ διαφέρει. Πόλις μὲν τὸ οἰκοδόμημα· Ἄστυ δὲ, ἡ κατασκευὴ τῆς πόλεως.

Πάγετος μὲν τὸ κρύος· Παγετὸς δὲ, ὁ χειμών.

Πλούσιος Ἀφνειοῦ καὶ Ὀλβίου διαφέρει. Πλούσιος μὲν γὰρ ὁ πολλὴν περιουσίαν ἔχων· Ἀφνειὸς δὲ, ὁ ἀπ' ἐνιαυτοῦ τὴν οὐσίαν συλλέγων· Ὄλβιος δέ ἐστιν, ὁ τελείαν εὐδαιμονίαν ἔχων.

Πένης καὶ Πτωχὸς διαφέρει. Πένης μὲν γὰρ ἀπὸ τοῦ ἐργάζεσθαί τι καὶ πονεῖν περὶ τὸν βίον· Πτωχὸς δὲ, ὁ ἐπαίτης.

Πολεμικὸς καὶ Αἰχμητὴς διαφέρει. Πολεμικὸς γὰρ ὁ ἔμπειρος τῶν πολέμων· Αἰχμητὴς δὲ, ὁ ἐμπείρως τοῖς κατὰ πόλεμον ὅπλοις χρώμενος.

Ρ.

Ῥέφανον καὶ Ῥάφανον διαφέρει. Ῥέφανον μὲν γὰρ τὸ παρ' ἡμῖν λεγόμενον· Ῥάφανον δὲ, ἡ κράμβη.

Ῥεῖθρον Ῥεύματος διαφέρει. Ῥεῖθρον μὲν γάρ ἐστιν ὁ τόπος, δι' οὗ φέρεται· Ῥεῦμα δὲ, τὸ ὕδωρ.

Σ.

Σημεῖον Τέρατος διαφέρει. Σημεῖον μὲν γάρ ἐστι τὸ ἐπὶ τοῦ ἀέρος γενόμενον· Τέρας δὲ, τὸ ἐν γῇ.

Σημεῖον καὶ Τεκμήριον διαφέρει. τὰ μὲν παρῳχημένα Σημείοις πιστεῦσθαι, τὰ δὲ μέλλοντα Τεκμηρίοις.

Τ.

Τεῖχος καὶ Τειχίον διαφέρει. Τεῖχος μὲν γὰρ ἐπὶ πόλεων· Τειχίον δὲ, ἐπὶ ἐπαύλεων.

Τιμωρεῖν καὶ Τιμωρεῖσθαι διαφέρει. Τιμωρεῖν μὲν γὰρ τὸ τοῖς ἀδικουμένοις βοηθεῖν· Τιμωρεῖσθαι δὲ τὸν ἀδικήσαντα. Τιμωρὸς Πατρόκλου Ἀχιλλεὺς, Τιμωρεῖται δὲ Ἕκτορα.

Τοὔνεκα καὶ Οὕνεκα διαφέρει. τὸ μὲν γάρ ἐστι τούτου ἕνεκα· τὸ δὲ Οὕνεκα διότι.

Τήθη καὶ Τηθὺς διαφέρει. Τήθη μὲν γάρ ἐστιν ἡ μάμμη· Τηθὺς, ἡ τοῦ πατρὸς ἢ τῆς μητρὸς ἀδελφή.

Τύραννοι καὶ Βασιλεῖς διαφέρουσιν. Τύραννοι μὲν γὰρ οἱ ἐξ ὠμότητος ἢ ἁρπαγῆς τὴν βασιλείαν δεξάμενοι· Βασιλεῖς δὲ, οἱ πατροπαράδοτ. . . . .

Υ.

Ὑποψία Ὑφοράσεως διαφέρει. Ὑποψία μὲν γάρ ἐστι κακοῦ τινος ὑπόνοια· Ὑφόρασις δὲ, δόξα ἐπὶ τὸ χεῖρον ταχθεῖσα.

Ὑπόσχεσις Ἐπαγγελίας διαφέρει. Ὑπισχνεῖται μὲν ὁ τὸ ἀξιωθὲν διδόναι μέλλων· Ἐπαγγέλλεται δὲ, ὁ δίχα παρακλήσεως παρέχειν τι δυνάμενος, ἢ βουλόμενος.

Φ.

Φλαῦρον καὶ Φαῦλον διαφέρει. Φλαῦρον μὲν γάρ ἐστι τὸ μικρὸν καὶ κοῦφον κακόν· Φαῦλον δὲ, τὸ μέγα. ὡς καὶ ἐν ἄλλοις παρεδηλώσαμεν.

ΛΕΣΒΩΝΑΚΤΟΣ
ΠΕΡΙ
ΣΧΗΜΑΤΩΝ.

Σχῆμα λόγου ἐστὶ πλοκὴ τῶν τοῦ λόγου μερῶν κατά τινα διάλεκτον. Εἴδη τῶν Σχημάτων εἴκοσι καὶ δύο. Εὐβοεικὸν, Κορίνθιον, Ἰβύκειον, Χαλκιδιακὸν, Ἀλκμανικὸν, Κλαζομένιον, Κολοφώνιον, Σικελικὸν, Νησιωτικὸν, Τῶν ἐπὶ τῆς Ἀσίας Ἑλλήνων, Ἰωνικὸν, Ἀττικὸν, Θηβαϊκὸν, Ἰωνικὸν καὶ Δώριον, Δώριον τῶν ἐν Πελοποννήσῳ Δωριέων, Ἀττικὸν. Ἄλλο Ἀττικὸν. Περιηγηματικὸν, Ἄλλο Ἀττικὸν. Ἄλλο πολλοῖς εἰρημένον, Ῥοδιακὸν, καὶ Ἀσιανόν.

Εὐβοεικόν. ὡς τὸ, ἡδὺς παιδίον βαδίζων. Οὐδετέροις γὰρ ὀνόμασι συντάσσουσιν ἀρσενικὸν καὶ θηλυκὸν ἐπίθετον καὶ μετοχάς. ὡς καὶ Ὅμηρος,

Δῶρόν τοι ἐγὼ τέκνον φίλε τοῦτο δίδωμι.

Κορίνθιον. ὡς τὸ, ὅπως ἔσται τάδε ἔργα. καὶ, ἵνα εἴδομεν ἄμφω. Ὁριστικοῖς γὰρ χρῶνται, ἀνθ' ὑποτακτικῶν, ὡς τὸ,

Ὀππότ' ἂν ἡβήσει τε καὶ ἧς ἱμείρεται αἴης.

Ἰβύκειον. ὡς τὸ, λαμπρὸν παμφαίνῃσι, καὶ ὁ λύχνος φαίνῃσι. ἀντίστροφόν ἐστι τῷ Κορινθίῳ, ὑποτακτικῷ χρώμενον ἀντὶ ὁριστικοῦ.

Χαλκιδιακόν. ὡς τὸ, Σωκράτης ἀπολογούμενός ἐστιν, ἀντὶ τοῦ ἀπολογεῖται. Τὰ γὰρ ὁριστικὰ τῶν ῥημάτων εἰς μετοχὰς ἀναλύει, μετὰ τοῦ ἐστιν, ἢ εἰμί. ὡς καὶ Ὅμηρος,

Αἰεὶ γὰρ ῥίγιστα θεοὶ τετληότες εἰμέν.

Ἀλκμανικόν. ὡς τὸ, Πλάτων ἐπορεύθησαν καὶ Ἀριστοτέλης. Γίνεται γὰρ δυεῖν ὀνομάτοιν μεταξὺ πίπτοντος πληθυντικοῦ ῥήματος.

Ἔνθα μὲν εἰς Ἀχέροντα, Πυριφλεγέθων τε ῥέουσι
Κωκυτός τε·
Εἰ δέ κ' Ἄρης λάχωσι μάχης καὶ Φοῖβος Ἀπόλλων.

Κλαζομένιον. ὡς τὸ, πορεύομαι σὺν ἀγῶνι, ἀντὶ τοῦ εἰς ἀγῶνα. Ἀλλάσσων τὴν αἰτιατικὴν εἰς δοτικὴν, καὶ τὴν πρόθεσιν εἰς πρόθεσιν. ὡς τὸ, σὺν πατρίδι ἔβη, ἀντὶ τοῦ εἰς τὴν πατρίδα· οὕτως Ἀντιφῶν. Ἀντίστροφον δὲ τούτῳ τὸ Ποιητικόν·

Ζεὺς γὰρ ἐς ὠκεανὸν μετ' ἀμύμονας Αἰθιοπῆας
Χθιζὸς ἔβη μετὰ δαῖτα.

ἐνήλλακται γὰρ ἡ δοτικὴ εἰς αἰτιατικὴν, καὶ ἡ ἐν πρόσθεσις εἰς τὴν μετά· ἀντὶ τοῦ, ἐν τοῖς ἀμύμοσιν Αἰθίοψιν, εἶπε, μετ' ἀμύμονας.

Κολοφώνιον. ὡς τὸ, χαλινὸν τῷ ἵππῳ, ἀντὶ τοῦ ἵππου. ἡ κεφαλὴ τῷ ἀνθρώπῳ, ἀντὶ τοῦ ἀνθρώπου. ὡς καὶ Ὅμηρος,

Νηῒ παρὰ πρύμνῃ,

ἀντὶ τοῦ νηός. καὶ,

Ἀλλ' οὐκ Ἀτρείδῃ Ἀγαμέμνονι ἥνδανε θυμῷ.

Σικελικόν. δέξαι ἱερείᾳ, ἀντὶ τοῦ, παρὰ τῆς ἱερείας. Γίνεται δὲ παραλαμβανομένης δοτικῆς πτώσεως, ἀντὶ γενικῆς, καὶ κατὰ παράλειψιν τῆς παρὰ, προθέσεως· ὡς καὶ Ὅμηρος,

Θέμιστι δὲ καλλιπαρῄῳ
Δέκτο δέπας·

ἀντὶ τοῦ παρὰ τῆς Θέμιδος. καὶ,

Δέξατό οἱ σκῆπτρον·

ἀντὶ τοῦ παρ' αὐτοῦ.

Νησιωτικόν. πλούσιος ἦν χρυσοῦ, ἀντὶ τοῦ ἕνεκα χρυσοῦ. Γίνεται δὲ οὕτως, τὰ συντασσόμενα τῇ δοτικῇ ῥήματα αὐτοὶ γενικῇ συντάσσουσιν. ὡς καὶ Ὅμηρος,

ἀφνειότερος χρυσοῖο τ' ἐσθῆτός τε.

Ἀττικοὶ δὲ ἐκφέρουσι τοιαῦτα, τὸ ἕνεκα προστιθέντες.

Τῶν ἐπὶ τῆς Ἀσίας Ἑλλήνων. ἀρέσκει με, ἀντὶ τοῦ μοι. Οὕτως δὲ γίνεται, συντασσομένης δοτικῆς πτώσεως ῥήμασιν αὐτοὶ ἐπὶ αἰτιατικὴν προφέρουσι, συνήντησέ με, ἀντὶ τοῦ μοι.

Καὶ δ' Ἀχιλεὺς τοῦτόν γε μάχῃ ἔνι κυδιανείρῃ
Ἔῤῥιγ' ἀντιβολῆσαι,

ἀντὶ τοῦ τούτῳ. καὶ Ἀττικοὶ, ὡς καὶ Ἀριστοφάνης ὁ κωμικὸς, ἀρέσκει με, λέγων. Ἀλλὰ καὶ τὰ ῥήματα, ἃ γενικῇ πτώσει συντάσσεται, ἐκφέρουσιν ἐπὶ αἰτιατικὴν, αὐτός με ἤρετο, καὶ ἀφαιρεῖταί με, ἀντὶ τοῦ ἐμοῦ. Καὶ Ὅμηρος,

ἐπεί μ' ἀφέλεσθέ γε δόντες.

Ἰωνικόν. Συνέβη τρωθῆναι τὸν Ἀλέξανδρον ἵππον, ἀντὶ τοῦ, τοῦ Ἀλεξάνδρου. συντασσομένων γὰρ τῶν πρός τι ἐχόντων ὀνομάτων παρ' ἡμῖν ἐπὶ γενικῆς πτώσεως, ἐκεῖνοι ἐπὶ αἰτιατικὴν ἐκφέρουσιν· ὡς τὸ,

γυναῖκα τεθήσατο μαζὸν,

ἀντὶ τοῦ γυναικὸς μαζὸν ἐθήλασεν. ὅθεν τινὲς λέγουσι τὸ γυναῖκα εἰρῆσθαι ἀντὶ τοῦ κτητικοῦ τὸ γυναικεῖον. ὡς Ἀττικοὶ, Ἕλληνα στρατὸν, ἀντὶ τοῦ Ἑλληνικόν. ἦν δὲ αὐτῷ εἰπεῖν ταῖς τοιαύταις συντάξεσιν, εἰ μὴ ἐκείνως διελέγοντο οἱ Ἕλληνες τὰ πρός τι ἔχοντα συντάσσοντες αἰτιατικαῖς πτώσεσιν,

Τρῶας στίχας οὖλος Ἄρης ὤτρυνε μετελθών·

τὰς στίχας. τινὲς δὲ τὰς Τρωὰς, ὀξυτόνως καὶ θηλυκῶς, ἀλλ' ἐλέγχει αὐτοὺς ἡ γραφὴ, χωρὶς οὖσα τοῦ ι. ἐπὶ κασιγνήτοιο φόνοιο. ἀντὶ τοῦ, κασιγνήτου, τὸ γὰρ προσηγορικὸν ἔλαβεν ἀντὶ τοῦ κτητικοῦ.

Ἀττικὸν, σύνηθες Ξενοφῶντι καὶ Πλάτωνι. στρατευόμενοι Θηβαῖοι ἐπὶ Ἀττικήν. Ἀλκιβιάδης ἐξελθὼν τῶν πυλῶν. τὸ γὰρ κατ' ἐπιφορὰν δεῖ εἰπεῖν. Λακεδαιμόνιοι ἡττήθησαν. Γίνεται δὲ οὕτως, τῇ ἐπιφορικῇ ἐκφράσει προσυνταττομένης ὀρθῆς πτώσεως, ἀντὶ γενικῆς ἢ δοτικῆς· ἡ μὲν γάρ ἐστι προσηγορικὴ, ἡ δὲ ἐπιφορικὴ, ἐξ ὧν ἀμφοτέρων ὁ λόγος αὐτοτελὴς γίνεται· καὶ ὥσπερ ἐλλείπων πάλιν αὐτοτελὴς ἑτέρας συνδεούσης. ὡς καὶ Ὅμηρος,

Οἱ δὲ δύο σκόπελοι, ὁ μὲν οὐρανὸν εὐρὺν ἱκάνει.

ἀντὶ τοῦ, τῶν δύο σκοπέλων.

Νεστορίδαι δ' ὁ μὲν οὔτασ' Ἀτύμνιον.
Ἄμφω δ' ἑζομένω, γεραρώτερος ἦεν Ὀδυσσεύς.

Ἴωνες δὲ καὶ πολλῶν φράσιν οὐ σώζοντες πάλιν, ὡς γὰρ ἡμεῖς λέγομεν, ἐξερχομένῳ μοι ἔδωκαν, αὐτοί φασιν, ἐξερχόμενος δέδωκέ μοι. Χαλκιδεῖς δὲ οἱ ἐν Εὐβοίᾳ ποιοῦσιν αἰτιατικαῖς πτώσεσιν ἐπιφορὰς ποιοῦντες καὶ ζευγνῦντες· ὡς Διονύσιος ὁ Χαλκιδεὺς, οὗτος γὰρ ἔφη περὶ Μυρίνης τῆς Ἀμαζόνος, τὴν Μυρίναν ἐξελθοῦσαν καὶ περιβλεψαμένην, ἔδοξεν αὐτὴν τὰς ἄλλας Ἀμαζόνας ἀνακαλέσασθαι.

Θηβαϊκόν. ἔστι δὲ καὶ ἄλλο σχῆμα ἀπὸ Βοιωτίας, ὃ δὴ καὶ Πινδαρικὸν λέγεται, ὅτι πολλάκις αὐτῷ κέχρηται. Γίνεται δὲ οὕτως, Λακεδαιμόνιοι πολεμεῖ Ἀθηναίοις· μελιῤῥόθων δ' ἕπεται πλοκαμοὶ, ἀντὶ τοῦ ἕπονται. Καὶ, διήγεται σάρκες, ἀντὶ τοῦ διήγοντο. Ὅμηρος,

Καὶ δὴ δοῦρα σέσηπε νεῶν καὶ σπάρτα λέλυνται.

ἀντὶ τοῦ σεσήπασιν.

Ἰωνικὸν δὲ καὶ Δώριον ὁμοῦ εἰλημμένον ἀπὸ τῶν κατὰ Σικελίαν Δωριέων. Γίνεται δὲ παραλαμβανομένου ἀπαρεμφάτου ῥήματος ἀντὶ προστακτικοῦ ἐν ταῖς τοιαύταις συντάξεσιν, ὅταν λέγῃ τις, δός μοι τὸ βιβλίον, αὐτὸ δοῦναι φάσκει, καὶ Ὅμηρος,

Ἐλθὼν δ' ἐς κλισίην Ἀγαμέμνονος Ἀτρείδαο
Πάντα μάλ' —— ἀγορευέμεν.

ἀντὶ τοῦ ἀγόρευε. καὶ,

Πειρᾶν δ' ὥς κεν Τρῶες,

ἀντὶ τοῦ πείραζε. Χρῶνται δὲ τῷ ἀπαρεμφάτῳ ἐπὶ ἑνικῷ προστακτικῷ καὶ πληθυντικῷ ὁμοίως· γράφειν λέγοντες, ἀντὶ τοῦ γράφετε. Ὅμηρος,

Ὑμεῖς δ' ἄλλοθεν ἄλλος ἐρητύειν ἐπέεσσιν,

ἀντὶ τοῦ ἐρητύετε.

Δώριον, μάλιστα τῶν ἐν Πελοποννήσῳ Δωριέων. Γίνεται δὲ οὕτως. παραλαμβανομένης δοτικῆς πτώσεως, ἀντὶ αἰτιατικῆς, παρεπομένης τῆς διὰ προθέσεως, οἷον εἴ τις φαίη· τῷ στρατηγῷ οἱ πολέμιοι ἀπώλοντο. ἀντὶ τοῦ, διὰ τὸν στρατηγόν. καὶ τούτῳ ἐσφάγη, ἀντὶ τοῦ διὰ τοῦτο. Ὅμηρος,

Σοὶ δὲ πάντες μαχησόμεθα,

ἀντὶ τοῦ διὰ σέ.

Ἀττικὸν δὲ γίνεται οὕτως. Συντασσομένης γενικῆς πτώσεως ἀντὶ δοτικῆς κατ' ἐπιφοράν. οἷον εἴ τις φαίη, οὐκ ἂν ἡμῖν συνέβη εὐσεβῶν ὄντων τοῦτο παθεῖν. καὶ, ἡμῖν εἴρηται πράγματα μὴ πλευσάντων· καὶ Ὅμηρος,

ἡμῖν —— κατεκλάσθη φίλον ἦτορ,
Δεισάντων φθόγγον τε βαρὺν αὐτόν τε πέλωρον.

Ἄλλο Ἀττικόν. τῷ, ἵνα, μορίῳ. Ἀττικὰ μόρια ἀντὶ ὑποτακτικοῦ, οἷον· ἵνα θύσαιτε. ὁ Πλάτων τούτῳ κέχρηται καὶ Ὅμηρος. ἵνα μήποθεν ἄλλος ἴαυοι. καὶ, ἵν' ἀθανάτοισι φαείνοι.

Περιηγητικόν. ᾧ πυκνοτέρως χρῶνται οἱ περιηγηταί. γίνεται δὲ οὕτως. Προταττομένης αἰτιατικῆς πτώσεως κατ' ἐπιφορὰν, ὅταν ἐν μεταβάσει λόγου ἐπενέγκωμεν ὀρθὴν πτῶσιν. οἷον, παραπλέομεν δύο πόλεις, αἱ καλοῦνται Σῆστος καὶ Ἄβυδος. καὶ Ὅμηρος.

Ἄνδρ' ὁρόω κρατερὼ ἐπὶ σοὶ μεμαῶτε μάχεσθαι,
Ἶν' ἀπέλεθρον ἔχοντε, ὁ μὲν τόξων εὖ εἰδώς.

ἀντὶ τοῦ, τὸν μέν.

Τῶν δὲ Ἀττικῶν τὸ συντάσσειν τὸ μὴ μετὰ μέλλοντος χρόνου. μὴ πείσομαι. ἐστὶ δὲ τὸ σχῆμα τῶν περὶ Ἀντιφῶντα. σπανίως δὲ καὶ Ὅμηρος κέχρηται. ἡμεῖς δὲ τὰς ἐξ ἀμφοτέρων φωνὰς τήντε μὴ, ἀπαγόρευσιν, καὶ τὴν οὐ, ἄρνησιν, ὑποτακτικοῖς ῥήμασι συντάσσομεν· οἷον, οὐ μὴ διαλεχθῶ σήμερον, οὐ μὴ εἴπω. Ἀνακύπτει δ' ἐκ τούτου τοῦ σχήματος καὶ ἕτερον Δώριον, ὃ γίνεται τῆς αὐτῆς συντάξεως χρεοκοπουμένης. οἷον, οὐκ εἴπω σοι, ἀντὶ τοῦ, οὐκ ἐρῶ σοι. καὶ, σήμερον οὐκ ἴδῃς, ἀντὶ τοῦ, μὴ ἴδῃς. καὶ τὸ,

Οὐ γάρ πω τοίους ἴδον ἀνέρας, οὐδὲ ἴδωμαι.

Ἄλλο πολλοῖς εἰρημένον. Ὅταν τὸ ῥῆμα συντάσσεται ἄλλαις πτώσεσιν. οἷον τὸ θαυμάζω, καὶ τὸ ὀνειδίζω, καὶ λοιδοροῦμαι, καὶ ὀκνῶ, καὶ ἐνοχλῶ. ἐστὶ δὲ πλεονάζοντα παρ' Ἀττικοῖς. Δοτικαῖς γὰρ συντάσσουσι πτώσεσιν, οἷόν ἐστι τὸ μέμφομαί σοι, καὶ ὀνειδίζω σοι· οἱ δὲ Δωριεῖς, ἅπερ τοῖς Ἀττικοῖς ἐπὶ δοτικῆς συνήθη, ταῦτα ἐπὶ γενικὴν μετάγουσι, μέμφομαί σου λέγοντες, ὡς πλήρη φασίν. Ἀττικοὶ δὲ συντάσσουσιν αἰτιατικαῖς πτώσεσι γενικὰς, καὶ δοτικῇ τὴν αἰτιατικήν.

Ῥόδιον. τῶν Δωριζόντων ἐν τῇ ἀκράτῳ δοτικῇ, ἤτοι τὴν ὀρθὴν καὶ αἰτιατικὴν πτῶσιν ἐπ' αἰτιατικὴν συντάσσουσι δοτικῇ πτώσει· οἷον εἴ τις εἴποι, κάλεσον τοῦ ἀνθρώπου, ἀντὶ τοῦ τὸν ἄνθρωπον. τεκμήριον δ' ἂν εἴη ἐκ τοῦ σχήματος μάλιστα τῶν Δωριζόντων, διά τε τὴν τὶν, καὶ τὴν σφὶν ἀντωνυμίαν· αὕτη γὰρ οὐδεμίας πτώσεως, ἢ δοτικῆς δηλωτική. καὶ Ὅμηρος,

Ζεύς με πατὴρ προέηκε τεῒν τάδε μυθήσασθαι.

Ἀσιανὸν, μᾶλλον ἐπιχωριάζον τοῖς ἐπὶ Σικελίας Ἕλλησιν. Γίνεται δὲ οὕτω συνηρτημένον ἔχον ὁριστικοῖς ῥήμασιν ἀντὶ ὀρθῆς. εἰ θέλεις ἀναστάντα κλεῖσαι τὴν θύραν, ἀντὶ τοῦ ἀναστάς. ἀπελθόντα λούσασθαι, ἀντὶ τοῦ ἀπελθών. Ἐναντίον δ' ἂν εἴη τούτῳ τῷ σχήματι, ὃ ἔμπαλιν ἔχει τὴν μετοχὴν ἐπὶ ὀρθῆς πτώσεως ἀντὶ αἰτιατικῆς. οἷον εἴ τις εἴποι, λέγεται Ἀλέξανδρον Μακεδόνα τρῶσαι τοὺς Πέρσας ἐλθὼν εἰς χωρίον τῆς Περσίδος, ἀντὶ τοῦ ἐλθόντα. καὶ Ὅμηρος,

Φημὶ —— οὖν κατανεῦσαι ὑπερμενέα Κρονίωνα,
Ἀστράπτων ἐπὶ δεξιᾷ,

ἀντὶ τοῦ ἀστράπτοντα.

ΠΕΡΙ ΒΑΡΒΑΡΙΣΜΟΥ

Βαρβαρισμός ἐστι λέξις ἤτοι περὶ τὰ στοιχεῖα, ἢ περὶ τὰς προσῳδίας ἡμαρτημένη. Διαφέρει δὲ τοῦ Σολοικισμοῦ· ἐπεὶ ὁ μὲν Βαρβαρισμὸς ἐν λέξει γίνεται, ὁ δὲ Σολοικισμὸς ἐν λόγῳ. Γίνεται δὲ ὁ Βαρβαρισμὸς ἐν τῇ λέξει, περὶ πλεονασμὸν στοιχείου, περὶ ἔνδειαν, περὶ ἐναλλαγὴν, περὶ τόνον, περὶ χρόνον, περὶ πνεῦμα. Λέγομεν δὲ βαρβαρίζειν καὶ τοὺς ἀλλοφύλῳ λέξει χρωμένους· ὡς εἴ τις τὸ μὲν ὑπαυχένιον Κερβικάριον λέγοι, τὸ δὲ χειρόμακτρον, Μάππαν.

ΠΕΡΙ ΣΟΛΟΙΚΙΣΜΟΥ.

Σολοικισμός ἐστι λόγος περὶ τὴν σύνταξιν τῶν λέξεων ἡμαρτημένος. Διαφέρει δὲ Σχήματος. ἐπεὶ τὸ μὲν Σχῆμα ἔχει τινὰ αἰτίαν εὔλογον καθισταμένην εἰς εὐπρέπειαν, ὁ δὲ Σολοικισμὸς οὐκ ἔχει. Γίνεται δὲ ὁ Σολοικισμὸς ἐν τῷ λόγῳ, περὶ πλεονασμὸν λέξεως, περὶ ἔνδειαν, περὶ ἐναλλαγὴν, περὶ εἶδος, περὶ γένος, περὶ ἄρθρον, περὶ ἀριθμὸν, περὶ πτῶσιν, περὶ πρόσωπον, περὶ χρόνον, περὶ διάθεσιν, περὶ ἔγκλισιν. Λέγεται δὲ Σολοικισμὸς, ἐπεὶ σόλοικον καὶ βάρβαρον τὴν προφορὰν ἔχει. Σολοίκους δὲ ἔλεγον οἱ παλαιοὶ τοὺς βαρβάρους. ὁ γὰρ Ἀνακρέων φησὶ, Κοίμισον δὲ σόλοικον φθόγγον. καὶ Ἱππῶναξ,

Καὶ τοὺς σολοίκους ἢν λάβωσι, περνᾶσι
Φρύγας μὲν εἰς Μίλητον ἀλφιτεύσοντας.

ΕΤΕΡΩΣ

ΠΕΡΙ ΒΑΡΒΑΡΙΣΜΟΥ

ΚΑΤΑ ΠΛΑΤΟΣ.

Τοῦ λόγου ἀρεταὶ μέν εἰσιν ἕξ. Ἑλληνισμὸς, Σαφήνεια, Κυριολογία, Συντομία, Εὐσυνθεσία, Εὐπρέπεια. Κακίαι δὲ ταύταις ἀντικείμεναι ὁμοίως ἕξ. Βαρβαρισμὸς, Ἀσάφεια, Ἀκυρολογία, Μακρολογία, Κακοσυνθεσία, Ἀπρέπεια.

Ἑλληνισμὸς μὲν οὖν ἐστι λέξις ὑγιὴς, καὶ ἀδιάστροφος λόγου μερῶν συμπλοκὴ μετάλληλος· Βαρβαρισμὸς δέ ἐστι λέξις ἡμαρτημένη παρὰ τὴν τῶν Ἑλληνιζόντων συνήθειαν.

Διαφέρει δὲ Βαρβαρισμὸς Σολοικίας· ὅτι ἡ μὲν Σολοικία τὴν τάξιν βλάπτει τοῦ λόγου, ὁ δὲ Βαρβαρισμὸς τὰ ἔπη τῆς λέξεως.

Γίνεται δὲ Βαρβαρισμὸς κατὰ τρόπους ἐννέα. προσθέσει, ἀφαιρέσει, ἐναλλαγῇ, μεταθέσει, συναλοιφῇ, διαιρέσει, τόνῳ, χρόνῳ, πνεύματι.

Κατὰ μὲν οὖν Πρόσθεσιν βαρβαρίζουσιν οἱ λέγοντες Σωκράτην, Δημοσθένην. τὰ γὰρ εἰς ης λήγοντα σύνθετα οὐ προσλαμβάνει ἐπὶ τῆς αἰτιατικῆς τὸ ν̄, ὅταν ᾖ παρ' οὐδετέρων πρὸς τὴν κατάληξιν, ἢ ῥῆμα ἐπὶ τέλει ἐμφαίνηται.

Κατὰ δὲ Ἀφαίρεσιν· ὡς εἴ τις λέγει τὸν Ἑρμῆ, δεῖ γὰρ λέγειν τὸν Ἑρμῆν.

Κατὰ δὲ Πρόσθεσιν λέγοντες τὸν δίφρον, δρίφον· καὶ τὸ φέρω, φέρνω· καὶ Μυτιληναῖον, Μιτυληναῖον· ἀπὸ γὰρ τοῦ Μύτωνος τοῦ κτίστου Μυτιλήνη καλεῖται.

Κατὰ δὲ Ἐναλλαγὴν, ὅσοι λέγουσιν ἀντὶ τοῦ ἐδυνάμην, ἠδυνάμην· καὶ ἀντὶ τοῦ ἐβουλόμην, ἠβουλόμην. ὅσα γὰρ ἀπὸ συμφώνου ἄρχεται τῶν ῥημάτων ἐν τῷ ἐνεστῶτι χρόνῳ, ταῦτα κατὰ τὸν παρατατικὸν ἀπὸ τοῦ ε̄ ἄρχεται. λέγω, ἔλεγον· φέρω, ἔφερον· οὕτω μέλλω, ἔμελλον· βούλομαι, ἐβουλόμην· καὶ δύναμαι, ἐδυνάμην.

Κατὰ δὲ Συναλοιφὴν, ὡς Μένανδρος λέγει,

Ὁ θάτερος μὲν τοῖν δυοῖν Διοσκόροιν.

ἀντὶ τοῦ φάναι, ὁ ἕτερος· ἡ γὰρ τοιαύτη συναλοιφὴ γίνεται ἐπὶ οὐδετέρου ἄρθρου, ὅταν αὐτῷ ἐπιφέρηται ὄνομα ἀπὸ φωνήεντος ἀρχόμενον, οἷον τὸ, ἕτερον, λέγω θάτερον. ἐπὶ ἀρσενικοῦ δὲ οὐδαμῶς.

Κατὰ δὲ Διαίρεσιν, ὡς ὅταν Ἡσίοδος λέγῃ,

Μάγνης δ' αὖ Δίκτην τε καὶ ἀντίθεον Πολυδεύκεα.

οὐ γὰρ διαιρεῖται, ὧν ἡ αἰτιατικὴ εἰς ν̄ λήγει· αἱ γὰρ εἰς ᾱ λήγουσαι αἰτιατικαὶ διαιροῦνται, Δημοσθένεα, Δημοσθένη γὰρ καὶ Διογένη.

Κατὰ δὲ Τόνον βαρβαρίζουσιν οἱ λέγοντες, ἐὰν βουλῶμαι, καὶ ἐὰν ἀρχῶμαι, δεῖ γὰρ λέγειν, ἐὰν βούλωμαι, καὶ ἐὰν ἄρχωμαι· ἐπειδὴ τὰ ὑποτακτικὰ τοῖς ἰδίοις ὁριστικοῖς ὁμοτονεῖ, φέρομαι, ἐὰν φέρωμαι· λέγομαι, ἐὰν λέγωμαι· οὕτω καὶ ἐὰν βούλωμαι, καὶ ἐὰν ἄρχωμαι. Ὁμοίως καὶ περὶ τοὺς τόνους βαρβαρίζουσιν, οἱ λέγοντες ἀκρᾶτον προπερισπωμένως· δεῖ γὰρ λέγειν ἄκρατον προπαροξυτόνως· ἡ γὰρ τοῦ ᾱ στέρησις προτιθεμένη τῶν δισυλλάβων ὀνομάτων εἰς ος ληγόντων, ἀναβιβάζει τὸν τόνον· οἷον κακὸς, ἄκακος· φθαρτὸς, ἄφθαρτος· οὐκοῦν καὶ κρατὸς, ἄκρατος.

Κατὰ δὲ Χρόνους βαρβαρίζουσιν, οἱ λέγοντες πινακῖς, ἐκτεταμένως· δεῖ γὰρ λέγειν πινακὶς συνεσταλμένως, ὡς θυρὶς, σανίς.

Κατὰ δὲ Πνεῦμα βαρβαρίζουσιν οἱ λέγοντες αὔριον δασέως. δεῖ γὰρ αὔριον, ψιλῶς· ἐπείπερ εἴρηται παρὰ τὴν αὔραν, ἥτις ἐκ τῶν ποταμῶν ἕωθεν ἀναδίδοσθαι φιλεῖ,

Αὔρη δ' ἐκ ποταμοῦ ψυχρὴ πνέει ἠῶθι πρό.

ἄλλως τε καὶ διὰ ψιλοῦ τοῦ στοιχείου συναλείφεται,

Μηδ' ἀναβάλλεσθαι ἔς τ' αὔριον, ἔς τ' ἔννηφι.

εἰ γὰρ ἦν δασὺ, πάντως ἂν διὰ τοῦ θ ὤφειλεν εἶναι ἡ συναλοιφή.

Ἀκυρολογία δὲ, ἥτις περὶ τὸ σημαινόμενον ἁμαρτάνεται· τῆς δὲ κακίας μέρος ἐστὶ καὶ ἡ ἀκυρολογία. ὡς παρὰ τῷ Καλλιμάχῳ ἐπὶ τῶν ἀπολομένων νηπίων,

Μητέρας ἐξεκένωσαν, ἐκούφισαν δὲ τιθήνας.

Τοὐναντίον γὰρ, ἐβάρυναν ἀπολέσαντες τὰ ὑπ' αὐτῶν τρεφόμενα βρέφη. καὶ παρ' Αἰσχύλῳ,

Ὁρῶμεν ἀνθοῦν πέλαγος Αἰγαῖον νεκροῖς.

ΠΕΡΙ
ΣΟΛΟΙΚΙΑΣ

ΚΑΤΑ ΠΛΑΤΟΣ.

Σολοικία ἐστὶν ἀκατάλληλος πλοκὴ τῶν τοῦ λόγου μερῶν παρὰ τὴν τῶν Ἑλληνιζόντων συνήθειαν.

Σολοικίζουσι δὲ κατὰ τρόπους ιε̅· περὶ γένη, περὶ ἀριθμοὺς, περὶ τὰς πτώσεις, περὶ τὰ εἴδη, περὶ τὰ γενικὰ καὶ εἰδικὰ, περὶ τὰ πάθη, περὶ τὰ ἐνεργήματα, περὶ τοὺς χρόνους, περὶ τὰ πρόσωπα, περὶ τὰς ἐγκλίσεις τῶν ῥημάτων, περὶ τὰ ἄρθρα, περὶ τὰς ἀντωνυμίας, περὶ τὰς προθέσεις, περὶ τὰ ἐπιῤῥήματα, περὶ τοὺς συνδέσμους.

Περὶ μὲν οὖν Γένη· ὡς παρ' Ὁμήρῳ,

Δῶρόν τοι καὶ ἐγὼ τέκνον φίλε τοῦτο δίδωμι.

ἀντὶ τοῦ, τέκνον φίλον.

Περὶ δὲ τοὺς Ἀριθμούς· ὡς παρ' Ἡσιόδῳ,

Τῆς δ' ἦν τρεῖς κεφαλαί.

ἀντὶ τοῦ, ἦσαν.

Περὶ δὲ τὰς Πτώσεις·

Ζεῦ κύδιστε, μέγιστε, κελαινεφὲς, αἰθέρι ναίων,
Ἠέλιος, ὃς πάντ' ἐφορᾷς καὶ πάντ' ἐπακούεις.

ἀντὶ τοῦ, ὦ ἥλιε.

Περὶ τὰ Εἴδη· ὡς εἴ τις ἁπλοῦν ἀντὶ συγκριτικοῦ τάξειεν, οἷον, δῖα θεάων. ἀντὶ τοῦ διοτάτη. καὶ γυναικῶν θηλυτεράων, ἀντὶ τοῦ θηλειῶν. καὶ, δικαιότατος κενταύρων, ἀντὶ τοῦ δίκαιος.

Περὶ δὲ Γενικὰ καὶ Εἰδικά· ὡς παρ' Ὁμήρῳ,

πατὴρ ἀνδρῶν τε θεῶν τε.

εἶδος μὲν γὰρ ἄνδρες, γένος δὲ, ἄνθρωποι.

Περὶ δὲ τὰ Πάθη· ὡς εἴ τις λέγοι, οἰκοδομοῦμαι πύργον, ἀντὶ τοῦ οἰκοδομῶ.

Περὶ δὲ Ἐνεργήματα· ὡς παρ' Ὁμήρῳ,

Ναιετάουσι πόληες·

ἀντὶ τοῦ ναιετάονται. καὶ,

ῥέε δ' αἵματι γαῖα.

ἀντὶ τοῦ ἐῤῥεῖτο.

Περὶ δὲ τὰ Πρόσωπα· ὡς παρ' Ὁμήρῳ,

Ἄλλοι μὲν γὰρ πάντες ὅσοι θεοί εἰσ' ἐν Ὀλύμπῳ,
Σοί τ' ἐπιπείθονται, καὶ δεδμήμεθα ἕκαστος.

ἀντὶ τοῦ δέδμηνται.

Περὶ δὲ Χρόνους· ὡς παρ' Εὐριπίδῃ,

Θύρσον δέ τις λαβοῦσ' ἔπαισεν εἰς πέδον,
Ὅθεν δροσώδης ὕδατος ἐκπηδᾷ νοτίς.

ἀντὶ τοῦ ἐπήδησεν.

Περὶ δὲ τὰς Ἐγκλίσεις τῶν ῥημάτων· ὡς εἴ τις ἐναλλάττει εὐκτικὰ ὁριστικοῖς, ἢ προστακτικὰ ἀπαρεμφάτοις, ἢ ἄλλο τι τῶν τοιούτων, ὡς παρ' Ὁμήρῳ,

Αἶψα μάλ' ἐς στρατὸν ἐλθὲ μετὰ Τρῶας καὶ Ἀχαιοὺς,
Πειρᾶν δ' ὥς κεν —— ὑπερκύδαντας Ἀχαιούς.

ἀντὶ τοῦ πείραζε. ὡς καὶ προείρηκεν ἐλθέ. καὶ,

Πληθὺν δ' οὐκ ἂν ἐγὼ μυθήσομαι, οὐδ' ὀνομήνω.

ἀντὶ τοῦ οὐ μυθησαίμην.

Περὶ δὲ τὰ Ἄρθρα· ὡς εἴ τις ὑποτακτικοῖς χρήσαιτο ἀντὶ προτακτικῶν. οἷον,

Μῦθος δ' ὃς μὲν νῦν ὑγιὴς εἰρημένος ἔστω.

ἀντὶ τοῦ, ὁ μέν· καὶ ἔμπαλιν προτακτικοῖς ἐχρήσατο ἀντὶ ὑποτακτικῶν,

Ἠπείλησεν μῦθον, ὁ δὴ τετελεσμένος ἐστίν.

ἀντὶ τοῦ, ὃς δή. καὶ,

ὅ μιν πρόφρων ὑπέδεκτο.

ἀντὶ τοῦ, ὅς μιν.

Περὶ δὲ τὰς Ἀντωνυμίας· ὡς εἴ τις ἀσύναρθρον ἀντὶ συνάρθρου παραλαμβάνοι. ὡς παρ' Ὁμήρῳ Ζηνόδοτος παραγράφει λέγων, πρὸς εἰς ἀντὶ τοῦ σοι σύναρθρος. ἢ εἴ τις, ἐπὶ μὲν τοῦ πρώτου προσώπου λέγοντος ὑμεῖς, ἐπὶ δὲ δευτέρου προσώπου τάξειεν ἀντωνυμίαν τὴν ἁρμόζουσαν τρίτῳ προσώπῳ. ὡς παρ' Ἡσιόδῳ,

Δεῦτε Δί' ἐννέπετε σφέτερον πατέρ' ὑμνείουσαι.

ἀντὶ τοῦ, ὑμέτερον.

Περὶ δὲ τὰς Προθέσεις·

Εἰς ἐλάτην ἀναβὰς,

ἀντὶ τοῦ, ἐλάτην. καὶ

Κάππεσον ἐν Λήμνῳ·

ἀντὶ τοῦ, εἰς Λῆμνον.

Περὶ δὲ Ἐπιῤῥήματα·

καὶ εἴσω δόρπον ἕλοντο,

ἀντὶ τοῦ ἔνδον. καὶ παρ' Εὐριπίδῃ,

Πολλὴ μὲν ἐν βροτοῖσι κοὐκ ἀνώνυμος
Θεὰ κέκλημαι Κύπρις, οὐρανοῦ τ' ἔσω.

ἀντὶ τοῦ ἔνδον. καὶ,

Πωλεῖταί τις δεῦρο γέρων.

ἀντὶ τοῦ, ἐνθάδε. καὶ,

Ναὶ μὰ τόδε σκῆπτρον.

ἀντὶ τοῦ, νὴ τοῦτο. καὶ ὅταν τις ἀπαγορευτικῷ χρήσηται ἀντὶ ἀρνητικοῦ. οἷον,

Μὴ δι' ἐμὴν ἰότητα Ποσειδάων ἐνοσίχθων,

ἀντὶ τοῦ, οὐ δι' ἐμήν.

Περὶ δὲ τοὺς Συνδέσμους· ὅταν τις τῷ μὲν μὴ ἐπενέγκῃ τὸν δὲ, ἢ ἕτερον ἰσοδυναμοῦντα. ἢ τῷ ἤτοι διαζευκτικῷ μὴ ἐπενέγκῃ τὸν ἤ. ἢ εἴ τις χρήσαιτο τῷ μὲν ἢ προτακτικῷ, τῷ δὲ ἤτοι ὑποτακτικῷ λέγων, ἢ τόδε, ἤτοι τόδε· τοὐναντίον γὰρ χρὴ ποιεῖν, προτάσσειν μὲν τὸν ἤτοι, ὑποτάσσειν δὲ τὸν ἤ, λέγοντας, ἤτοι τόδε, ἢ τόδε.

Σολοικίζουσι δὲ καὶ περὶ τὸ μικτὸν καλούμενον· ἐπειδὰν δύο ἢ πλείονα εἴδη τῶν εἰρημένων ἐμπεριέχηται. ὡς ἐν τῷ, ἕνα λίθον πενθ' ὑπῆσαν σκόρπιοι. Σολοικίζει δὲ καὶ, ὁ τὸ παιδίον δεικνὺς, καὶ λέγων οὗτος.

Σολοικία δὲ καὶ Βαρβαρισμὸς τούτῳ διενηνόχασιν ἀλλήλων, ὅτι ἡ μὲν Σολοικία περὶ πλείονας γίνεται λέξεις ἀκαταλλήλως πλεκομένας, καὶ τὸ σημαινόμενον ἐναλλάσσει. οἷον, Ναιετάουσι πόλιν, ἀντὶ τοῦ ναιετάονται· ὁ δὲ Βαρβαρισμὸς περὶ μίαν γίνεται λέξιν, καὶ μόνης τῆς φωνῆς ἐστιν ἁμάρτημα. ὁ γὰρ λέγων περισπωμένως εὐγενῆς, τὸ μὲν σημαινόμενον φυλάττει, πταίει δὲ κατὰ τὴν προφορὰν, περισπωμένῃ χρώμενος ἀντὶ ὀξείας.

Ὠνόμαται δὲ ὁ μὲν Βαρβαρισμὸς κατὰ ἐναντιότητα τοῦ Ἑλληνισμοῦ, ἐπειδήπερ ἡ κατορθωμένη λέξις Ἑλληνισμὸς καλεῖται, καὶ ὅτι πᾶν τὸ ἐκ τῆς συνηθισμένης λέξεως μετενηνεγμένον, Βάρβαρον λέγεται. Σολοικισμὸς δὲ, ὅτι τοῦ σώου λόγου αἰκία· αἰκίζεται γὰρ τὴν ἀκολουθίαν τοῦ λόγου· ἢ ὅτι οἱ παλαιοὶ Σολοίκους ἐκάλουν τοὺς βαρβάρους. καθὰ φησὶν Ἱππῶναξ,

Καὶ τοὺς σολοίκους, ἢν λάβωσι, περνᾶσιν.

Ὥστε τῷ γένει Σολοικίαν εἶναι τὸν βαρβαρισμόν.

ΛΕΞΙΚΟΝ
ΠΕΡΙ
ΠΝΕΥΜΑΤΩΝ.
ΕΚΛΕΓΕΝ
ΕΚ ΤΩΝ ΠΕΡΙ ΠΝΕΥΜΑΤΩΝ
ΤΡΥΦΩΝΟΣ. ΧΟΙΡΟΒΟΣΚΟΥ. ΘΕΟΔΩΡΙΤΟΥ.
ΚΑΙ ΕΤΕΡΩΝ.
Καὶ ἀντιγράφοις διαφόροις ἀντιβληθὲν καὶ ὀρθωθέν.

Τὸ Α πρὸ ἑαυτοῦ ψιλοῦται ἀεὶ, οἷον, ἀαρών. Ἄαπτος, ὁ ἀπροσπέλαστος, καὶ οὗ μὴ δύναταί τις ἅψασθαι.

Τὸ Α πρὸ τοῦ Β, εἰ μὴ ἐπάγοιτο τῷ Β τὸ Ρ ψιλοῦται. οἷον, ἀβειρῶν. ἀβιμέλαχ. ἄβαρις. ἄβυδος. καὶ τὰ λοιπά. τὸ μέντοι ἀβραάμ. καὶ ἁβράμιος. καὶ ἁβρός. ἁβρότης. ἁβρότονον. ἃ πάντα ἀπὸ τοῦ ἁβρὸς γίνεται, καὶ ὅσα ἐκ τούτου, δασύνονται, ὅτι ἐπάγεται τῷ Β τὸ Ρ. σεσημείωται ἐν τούτοις τὸ Ἀβρότη νὺξ, ἐν ᾗ βροτὸς οὐ πορεύεται. καὶ Ἀβροτάζω, τὸ ἁμαρτάνω, κυρίως δὲ, τὸ βροτοῦ ἀποτυγχάνω· τοῦ Α κατὰ στέρησιν ἐπὶ τούτων λαμβανομένου. καὶ Ἄβρομοι, οἱ πολύηχοι, τοῦ Α κατ' ἐπίτασιν λαμβανομένου, ἢ κατὰ στέρησιν, ἤγουν οἱ βρόμον μὴ ἔχοντες.

Τὸ Α πρὸ τοῦ Γ ψιλοῦται. ἄγαν. ἀγείρω. ἀγορά. Ἄγνος, τὸ φυτόν. τὸ μέντοι Ἁγνὸς, ὁ καθαρός. καὶ ἅγιος. καὶ ἁγιάζω. καὶ ἁγιωσύνη. καὶ ἁγνίζω. καὶ ἁγνισμός. καὶ ὅσα ἐκ τοῦ Ἅζω, ῥήματος, ὃ δηλοῖ τὸ σέβομαι, τὴν δασεῖαν φυλάττουσιν.

Τὸ Α πρὸ τοῦ Δ ψιλοῦται. ἀδάμ. ἄδωνις. ἀδελφός. Ἀδριὰς, κόλπος θαλάσσης. πλὴν τοῦ ᾅδης. ἁδρύνω. ἁδρότης. τὸ μέντοι Ἀδριὰς παρ' Ὁμήρῳ δασύνεσθαι φησὶν Ἡρωδιανὸς, ἐν δὲ τῷ Καθόλου ψιλοῦσθαι.

Τὸ Α πρὸ τοῦ Ε ψιλοῦται. οἷον, ἀεί. ἀετός. Ἄελλα, ἡ συστροφὴ τοῦ ἀνέμου. Ἀερόπη, κυρίως. ἀέναον. ἀέριον.

Τὸ Α πρὸ τοῦ Ζ ψιλοῦται. Ἄζω, τὸ ξηραίνω. ἐξ οὗ καὶ Ἀζαλέος, ὁ κατάξηρος. καὶ Ἀζαρίας, κύριον. Ἄζωτος, πόλις. πλὴν τοῦ Ἅζω, τὸ σέβομαι, καὶ θαυμάζω. ἅζομαι. ἁζόμενος.

Τὸ Α πρὸ τοῦ Η ψιλοῦται. οἷον, Ἀήτης, ἄνεμος. ἀηδών. καὶ τὰ ὅμοια.

Τὸ Α πρὸ τοῦ Θ ψιλοῦται. οἷον, Ἄθως, ὄνομα ὄρους, οὗ ἡ γενικὴ, ἄθω· ὡς ὁ κάλως, τοῦ κάλω· καὶ ὁ ἄπρως, τοῦ ἄπρω· καὶ ὁ ταῶς, τοῦ ταώ. Ἀθῷος, ὁ ἀζήμιος. ἀθηνᾶ. ἀθροίζω. ἀθηρηλοιγός. καὶ τὰ λοιπά.

Τὸ Α πρὸ τοῦ Ι ψιλοῦται οἷον, Ἀΐδης, ὁ ᾅδης. Ἀΐσσω, τὸ ὁρμῶ. Ἀΐω, τὸ ἀκούω. Ἀϊστῶσαι, τὸ ἀφανίσαι. καὶ τὰ λοιπά.

Τὸ Α πρὸ τοῦ Κ ψιλοῦται. ἀκοή. ἄκμων. ἀκίνη. Ἀκαλήφη, εἶδος βοτάνης, ἡ λεγομένη κνίδη. Ἀκωκὴ, ἡ κεφαλὴ τοῦ βέλους, καὶ τὰ λοιπά.

Τὸ Α πρὸ τοῦ Λ, ἢ ἑνὸς ἢ δισσοῦ, ψιλοῦται. οἷον Ἀλῶ, τὸ πλανῶ. Ἄλη, ἡ πλάνη. Ἀλήτης, ὁ πλανήτης. Ἀλίτης, ὁ ἁμαρτωλός. καὶ ἀλιτρός. Ἄλυδις, ἀντὶ τοῦ ὁμοῦ. Ἀλδήσκω, τὸ αὐξάνω. ἄλλος. καὶ ὅσα ἐξ αὐτοῦ. ἀλλοῖος. ἀλλοδαπός. ἀλλότριος. ἀλλόκοτος. ἀλλᾶς, ἀλλᾶντος. πλὴν τοῦ Ἅλς, ὃ θηλυκῶς μὲν λεγόμενον σημαίνει τὴν θάλασσαν, ἀρσενικῶς δὲ, τὸ ἅλας. καὶ τῶν ἐξ αὐτοῦ, Ἁλίτης, ὁ θαλάσσιος. Ἅλιος, ὁ μάταιος, καὶ ὁ θαλάσσιος. ἁλουργίς. ἅλμη. ἁλιεύς. Ἁλικαρνασὸς, πόλις. καὶ ἁλίασος. ἁλίαρτος. Ἁλιζῶνες, ἔθνος, ἀπὸ τοῦ ὑπὸ τῆς ἁλὸς περιζωννύεσθαι. Ἁλυκὸν, τὸ ἁλμυρόν. Ἁλίζω, τὸ ἅλατι πάσσω. σὺν τούτοις καὶ τὰ ἄθροισμα σημαίνοντα. Ἅλις, ἀντὶ τοῦ δαψιλῶς, καὶ αὐτάρκως, Ἁλίζω, τὸ συναθροίζω. καὶ Ἅλως, τὸ ἁλώνιον. σὺν τούτοις καὶ Ἁλῶ, τὸ κρατῶ. ἅλωσις. ἁλωτός. ἁλίσκω. ἅλυσις. σὺν αὐτοῖς καὶ τὸ Ἅλλομαι, διὰ δύο λλ. ὃ σημαίνει τὸ πηδῶ, καὶ ἁλλόμενος. καὶ Ἅλμα, τὸ πήδημα. Ἄλμα δὲ, τὸ ἄλσος, ψιλοῦται, ὡς καὶ ὁ Λυκόφρων,

Ἵν' ἄλμαθ' ἵππου καὶ χαμευνάδος μέροι.

καὶ τὰ ὅμοια. τὸ μέντοι Ἆλτο, ἀντὶ τοῦ ἐπήδησεν. ὡς καὶ Ὅμηρος,

ἆλτο χαμᾶζε

ψιλοῦται. τὸ Ἀλετρίβανον, εἰ μὲν παρὰ τὸ τοὺς ἅλας τρίβειν ἐτυμολογεῖται, δασύνεται· εἰ δὲ παρὰ τὸ Ἀλεῖν, ἤγουν ἀλήθειν καὶ τρίβειν, ψιλοῦται. λέγεται δὲ καὶ ἀλότριψ. Ἀλκυὼν, ἐκ τοῦ ἐν ἁλὶ κύειν ἐτυμολογεῖται, ὅμως ψιλοῦται, διὰ τὸ ἐπάγεσθαι τὸ Κ. Ἀλέα, ἡ θερμασία, δασύνεται παρὰ τοῖς Ἀττικοῖς, ἐν δὲ τῷ Καθόλου ψιλοῦται· σὺ δὲ ψίλου κατὰ συνήθειαν. Ἅλυς, ποταμὸς, ὅθεν καὶ ἁλύτη ψιλοῦται. ὡς καὶ Ἀλύτης, πολλὴν γὰρ χώραν περιτρέχει· τινὲς δὲ δασύνουσιν, ἁλυκὸν ὕδωρ λέγοντες ἔχειν αὐτόν. Ἄλυς δὲ, ἡ ἀδημονία, παρὰ πᾶσι ψιλοῦται.

Ἄλλως. Τὸ Α πρὸ τοῦ Λ, ἐπαγομένου συμφώνου τῆς πρώτης συζυγίας τῶν βαρυτόνων, ἢ τῆς δευτέρας, ἢ τῆς τρίτης, ψιλοῦται. οἷον, Ἄλπεις, ὄνομα ὄρους ἐν Ἰταλίᾳ. Ἀλφειὸς, ποταμὸς ἐν Ἀρκαδίᾳ. ἀλγηδών. Ἀλκὴ, ἡ δύναμις. Ἀλδήσκω, τὸ αὐξάνω. Ἀλθαία, εἶδος βοτάνης. καὶ Ἀλθαίνω, τὸ θεραπεύω. ὅθεν τὸ Ἀλκυὼν, ὄνομα ὀρνέου τινὸς ἐν τῇ θαλάσσῃ τίκτοντος, εἰ καὶ παρὰ τὸ ἐν τῇ ἁλὶ κύειν ἐτυμολογεῖται, ἀλλ' ὅμως ψιλοῦται, διότι ἐπάγεται τὸ Κ. ὡσαύτως καὶ τὸ ἆλτο. καὶ τοῦτο δείκνυσιν ἡ συναλοιφή. Φησὶ γὰρ Ὅμηρος ἐν τῇ Φῖ ῥαψῳδίᾳ τῆς Ἰλιάδος,

Ἀστεροπαίῳ ἐπᾶλτο κατακτάμεναι μενεαίνων.

Τὸ Α πρὸ τοῦ Μ, ἢ ἑνὸς ἢ δισσοῦ, ψιλοῦται. οἷον ἀμνός. Ἀμύνω, τὸ βοηθῶ. καὶ Ἀμύνομαι, τὸ τιμωρῶ. ἀμείβω. Ἀμῶ, τὸ θερίζω. Ἄμη, ἡ δρεπάνη. τινὲς δὲ δασύνουσι τὴν ἄμην, ἐτυμολογοῦντες ἀπὸ τοῦ ἅμα πολλοὺς τέμνειν στάχυας. Ἀμάλη, ἡ ἀγκάλη. ἀμαθύνω. Ἄμης, πλακοῦς. ἄμμος. ἄμαθος. Ἄμμυδις, Αἰολικῶς, ἀντὶ τοῦ ὁμοῦ. καὶ τὰ ἔχοντα τὸ Α στερητικόν. ἄμορφος. ἀμείλικτος. πλὴν τοῦ ἅμα, καὶ τῶν ἐξ αὐτοῦ. οἷον Ἁμαρτῆ, ἀντὶ τοῦ ὁμοῦ. ἅμιλλα. ἁμιλλῶμαι. ἅμαξα. σὺν τούτοις, ἁματροχιά. ἁμαρτάνω. ἁμαρτία. ἁμαρτωλός. Ἅμμα, ὁ δεσμός. (γρ. τὸ σχοινίον) παρὰ τὸ ἅπτομαι. Ἀμὶς, τὸ οὐροδόχον ἀγγεῖον. Ἀμνίον, τὸ εἰς ὑποδοχὴν αἵματος ἐπιτήδειον ἀγγεῖον. καὶ Ὅμηρος,

Περσεὺς δ' ἀμνίον εἶχε.

γίνεται δὲ ἀπὸ τοῦ αἷμα αἱμνίον, καὶ ἀμνίον κατὰ ἀποβολὴν τοῦ ι. Ἀμυδὶς, τὸ ὁμοῦ. ἀμωσγέπως. καὶ ἀμωσγέπη. τοῦτο δὲ παρὰ ἑτέροις ψιλοῦται, οἳ ἀπὸ τοῦ Ἀμὸς, ὃ σημαίνει τὸν ἡμέτερον, ἐτυμολογοῦσιν εἶναι. τὸ Ἄμμος παρὰ πᾶσι τοῖς Τεχνολόγοις δασυνόμενον εὗρον καὶ δι' ἑνὸς μ. εἰ μέντοι συνήθεια τοῦτο ψιλοῖ, καὶ διὰ δύο μμ γράφει. τὸ Ἅμαξα δασύνεται, ὡς εἴπομεν, ἐκ τοῦ ἅμα ἄγεσθαι ὑπὸ δύο βοῶν· τινὲς δὲ ψιλοῦσιν αὐτὸ, ἐτυμολογοῦντες ἐκ τοῦ τὸν ἄμητον ἄγειν. ὅθεν καὶ Κατημαξευμένας ὁδοὺς καὶ λέξεις λέγομεν, τὰς συνήθεις καὶ κατατετριμμένας. καὶ Ἁμαξιτὸς, ἡ ὁδός. δηλοῖ δὲ καὶ Ὅμηρος εἰπὼν,

Τείχεος αἰὲν ὑπ' ἐκ κατ' ἁμαξιτὸν ἐσσεύοντο.

Τὸ Α λῆγον εἰς Μ, ἐπιφερομένου συμφώνου, ψιλοῦται ἀεί. ἄμφω. ἀμφίς. ἄμπυξ. ἄμπελος. καὶ τὰ ὅμοια.

Τὸ Α πρὸ τοῦ Ν ψιλοῦται. ἀνία. ἄνεμος. ἀνεμώλιον. Ἀνύω, ὃ καὶ Ἀνύτω Ἀττικῶς γράφεται. καὶ τὰ λοιπά. πλὴν τοῦ Ἁνδάνω, τὸ ἀρέσκω. ἐκ γὰρ τοῦ Ἥδω, τὸ εὐφραίνω, γινόμενον τὴν δασεῖαν ἐφύλαξε τοῦ γεννήσαντος.

Τὸ Α πρὸ τοῦ Ξ ψιλοῦται ἀεί. ἄξων. ἀξίνη. ἀξία. Ἄξυλος ὕλη, ἡ πολύξυλος. καὶ Ἄξυλος, κύριον ὄνομα.

Τὸ Α πρὸ τοῦ Ο ψιλοῦται. οἷον Ἄορ, τὸ ξίφος, Ἀολλέες, οἱ συνηθροισμένοι. Ἀοσσητὴρ, ὁ βοηθός. καὶ τὰ λοιπά.

Τὸ Α πρὸ τοῦ Π ψιλοῦται. ἀπηνής. ἀπόλλων. Ἀπολλῶτος, ὄνομα ἀποστόλου. ἀπάνθρωπος. ἀπώλεια. ἀπὸ, πρόθεσις· καὶ τὰ ἐξ αὐτῆς πάντα. πλὴν τοῦ ἅπας. ἁπλοῦς. ἁπλῶς, ἐπίῤῥημα. ἁπαλός. ἅπαξ. ἁπαξάπαντες. ἅπτομαι. καὶ ἅπαν.

Τὸ Α πρὸ τοῦ Ρ, φωνήεντος ἢ συμφώνου ἐπαγομένου, ψιλοῦται. οἷον ἀρά. ἀραῖος. ἀρέθας. ἄρσην. ἀριπρεπής. ἄρδην. ἀρνός. ἄροτρον. ἄρης. ἀρητός. Ἀρβύλη, καὶ Ἀρβυλὶς, εἶδος ὑποδήματος. ἀργία. Ἄρδω, τὸ ποτίζω. Ἄργος, πόλις. ἀργός. ἄρμενον. ἀρμένιος. καὶ Ἀρμοῖ, ἀντὶ τοῦ νεωστὶ, παρὰ Λυκόφρονι, ὡς τὸ,

Θύσσησιν ἀρμοῖ μηλάτων ἀπάργματα

Θύουσαν.

πλὴν τοῦ ἁρμόζω. ἁρμογή. ἁρμός. ἁρμονία. Ἁρμαλιὰ, ἡ τροφὴ, ὅπερ ἀπὸ τοῦ ἁρμόζω γίνεται. ἅρμα. Ἅρκυς, ἡ παγίς. Ἅρπη, ἡ δρεπάνη. Ἅρπυια, εἶδος ἀνέμου σφοδροῦ. ἁρπάζω. ἅρπαξ, ἁρπαλέος. καὶ τῶν λοιπῶν, τῶν ἐχόντων ἐπαγόμενον τὸ Π.

Τὸ Α πρὸ τοῦ Σ, ἑνὸς ἢ δισσοῦ, ψιλοῦται· φωνήεντος ἢ συμφώνου ἐπαγομένου. ἀσία. Ἄση, ἡ βλάβη. Ἀσάμινθος, ἡ λεκάνη· παρὰ τὸ τὴν Ἄσιν, τουτέστι τὸν ῥύπον, μινύθειν καὶ ἐλαττοῦν. Ἄσσον, ἀντὶ τοῦ ἐγγύς. ἀσσυρία. ἀσκός. ἀσσύριος. ἀσπίς. ἄστυ. καὶ τὰ λοιπά. πλὴν τοῦ Ἅσσα. ἀντὶ τοῦ ἅτινα. Ἄσσα δὲ, ἀντὶ τοῦ τινὰ ἀορίστως, ψιλοῦται.

Τὸ Α πρὸ τοῦ Τ, ἢ ἑνὸς ἢ δισσοῦ, ψιλοῦται. οἷον Ἄτη, ἡ βλάβη. Ἀτεράμων, ὁ σκληρός. Ἀτρεὺς, κύριον. Ἀττέλαβος, ἡ ἀκρίς. ἀττικός. Ἄτερ, ἀντὶ τοῦ χωρίς. Ἀτταγὴν, εἶδος ὄρνιθος καταστίκτου, τὸ λεγόμενον ταγηνάριον. καὶ Ἄττα, ἀντὶ τοῦ τινὰ ἀορίστως. πλὴν τοῦ Ἅττα, ἀντὶ τοῦ ἅτινα. Ἅτε, ἀντὶ τοῦ καθά. καὶ Ἅτερος, ἀντὶ τοῦ ἕτερος. καὶ ἁτέρα, θηλυκόν.

Τὸ Α πρὸ τοῦ Υ ψιλοῦται. Ἀϋτὴ, ἡ βοή. Ἀΰω, τὸ φωνῶ. ἐξ οὗ καὶ τὸ παρ' Ὁμήρῳ,

ἀμφὶ δὲ νῆες
Σμερδαλέον κονάβησαν ἀϋσάντων ὑπ' ἀχαιῶν.

ἀντὶ τοῦ φωνησάντων.

Τὸ Α πρὸ τοῦ Φ, ψιλοῦται. οἷον, ἄφνω. ἀφανής. Ἄφαρ, ἀντὶ τοῦ εὐθέως. πλὴν τοῦ Ἁφὴ, εἴτε τὴν χεῖρα σημαίνει, εἴτε τὴν ἔξαψιν.

Τὸ Α πρὸ τοῦ Χ ψιλοῦται. οἷον Ἄχος, ἡ θλίψις. Ἄχθος, τὸ βάρος. ἄχυρον. ἀχιλλεύς. ἀχιτόφελ. ἀχαιός. ἀχυρμιά. ἀχαία. καὶ τὰ ὅμοια.

Τὸ Α πρὸ τοῦ Ψ ψιλοῦται. οἷον Ἄψ, ἀντὶ τοῦ πάλιν, καὶ εἰς τοὐπίσω. ἐξ οὗ καὶ Ἄψοῤῥος, ὁ ὀπισθόρμητος. Ἄψυρτος. καὶ τὰ λοιπά. πλὴν τῶν παρὰ τὸ ἅπτω, καὶ ἅπτομαι· Ἁψίκορος, ὁ ἅμα τοῦ ἅψασθαι κορεννύμενος, τουτέστιν, ὁ ταχέως χορταζόμενος. ἁψιμαχία. ἁψὶς, ἁψῖδος. καὶ Ἅψεα, τὰ μέλη.

Τὸ Α πρὸ τοῦ Ω μέγα ψιλοῦται. οἷον Ἄω, τὸ πνέω. Ἀωτῶ, τὸ ὑπνώττω, καὶ ἀπανθίζω. καὶ Ὅμηρος,

ὕπνον ἀωτεῖς.

καὶ Ἀωρὶ, ἀντὶ τοῦ παρὰ καιρόν.

Καθολικοὶ κανόνες περὶ τοῦ Α.

Τὸ Α, εἴτε στέρησιν δηλοῖ, ὡς τὸ ἄφιλος καὶ ἄοικος· εἴτε ἐπίτασιν, ὡς τὸ Ἄξυλος ὕλη, ἡ πολύξυλος· εἴτε κακὸν, ὡς τὸ Ἀφωνος, ὁ κακόφωνος· εἴτε ὀλίγον, ὡς τὸ Ἀμαθὴς, ὁ ὀλιγομαθής· εἴτε πλεονάζει, ὡς ἐν τῷ, στάχυς ἄσταχυς, σταφὶς ἀσταφὶς, σπαίρω ἀσπαίρω· εἴτε τὸ ὀπίσω σημαίνει, ὡς τὸ Ἀκόλουθος, ὁ ὀπίσω τὴν κέλευθον ποιούμενος· εἴτε τὸ ὁμοῦ, ὡς τὸ Ἄλοχος, ἡ ὁμόκοιτος, καὶ Ἀκοίτης, ὁ ἀνήρ· εἴτε τὸ ἴσον, ὡς τὸ Ἀτάλαντον, τὸ ἰσόσταθμον, ψιλοῦται. Εἰ δὲ ἄθροισιν σημαίνει, δασύνεται. οἷον ἅπας. Ἁλίζω, τὸ συναθροίζω. τὸ μέντοι ἅλυσις, καὶ ᾅδης, κἂν στερητικὸν ἔχωσι τὸ Α, δασύνονται. ἐκ γὰρ τοῦ Α στερητικοῦ μορίου, καὶ τοῦ λύω. καὶ ἐκ τοῦ Α, τοῦ σημαινομένου, τὸ ὁμοῦ, καὶ τοῦ δῶ· πάντας γὰρ δεσμεῖ ὁ ᾅδης.

Τὸ Α ἐν ταῖς προθέσεσι ψιλοῦται. ἀνά. ἀντί. ἀπό. ἐπειδὴ καὶ πᾶσα πρόθεσις ψιλοῦται. ἐκτὸς τῶν ἀπὸ τοῦ Υ ἀρχομένων.

Τὸ Α πρὸ παντὸς φωνήεντος, κατὰ διάστασιν, ψιλοῦται. ἀαρών. ἀηδών. τὸ γὰρ αἷμα, καὶ τὰ τοιαῦτα, μὴ κατὰ διάστασιν ὄντα, δασύνονται.

Τὸ Α ἐν τοῖς ὑποτακτικοῖς ἄρθροις δασύνεται. ἃ, ἃς, αἷς. ὡσαύτως καὶ ἐν τοῖς Δωρικοῖς. ἡμῶν, Ἁμῶν. ἡδὺ, Ἁδύ. Σημειωτέον, ὅτι τὸ Α πρὸ παντὸς φωνήεντος, καὶ πρὸ τῶν δύο δασέων τοῦ Θ Χ, καὶ πρὸ τοῦ Κ Ξ ψιλοῦται ἀεί.

Ε.

Τὸ Ε πρὸ τοῦ Α δασύνεται. οἷον Ἑανὸν, τὸ λεπτὸν ἱμάτιον, ἢ τὸ ποικίλον. Ἑὰ, τὰ ἀγαθά. Ἑάλω, ἀντὶ τοῦ ἐκρατήθη. Ἕαται, ἀντὶ τοῦ κάθηνται, παρ' Ὁμήρῳ, ὡς τὸ,

Οἳ δὴ νῦν ἕαται σιγῇ.

καὶ τὰ λοιπά. πλὴν τοῦ ἔαρ. καὶ τῶν ἐξ αὐτοῦ. ἐαρίζω. Ἐαρινὸς καιρός. Ἐάω, τὸ καταλιμπάνω. καὶ τῶν ἐξ αὐτοῦ. καὶ Ἑαδότα, τὸν ἀρέσκοντα.

Τὸ Ε πρὸ τοῦ Β ψιλοῦται, εἰ μὴ ἐπάγοιτο τῷ Β τὸ Δ ἢ τὸ Ρ. οἷον Ἔβενος, ξύλον. Ἔβερ, κύριον. Ἐβιωναῖος, ὄνομα αἱρετικῶν τινῶν. καὶ τὰ ὅμοια. τὸ μέντοι ἕβδομος. ἑβραῖος. καὶ ὅσα ἐξ αὐτῶν, δασύνονται· ὅτι ἐπάγοιτο τῷ Β τὸ Δ καὶ τὸ Ρ.

Τὸ Ε πρὸ τοῦ Γ ψιλοῦται ἀεί. οἷον ἐγώ. ἐγείρω. ἐγγύς.

Τὸ Ε πρὸ τοῦ Δ ψιλοῦται. οἷον ἔδαφος. Ἔδεσσα, πόλις. Ἐδὸς, ὁ λαίμαργος. Ἔδω, τὸ ἐσθίω. Ἐδητὺς, ἡ εὐωχία. Ἐδωδὴ, ἡ τροφή. καὶ τὰ λοιπά. πλὴν τοῦ Ἕδος, τὸ ἔδαφος. ἕδρα. καὶ τῶν ἐξ αὐτοῦ, ἑδραῖος, ἑδράζω, ἑδραίωμα. σὺν τούτοις Ἕδνον, ἡ προίξ. Ἑδώλιον, ἡ τῶν ἐρεσσόντων καθέδρα. Ἑδανὸν, τὸ ἡδύ. καὶ Ἑδεῖται, ἀντὶ τοῦ καθίσει.

Τὸ Ε πρὸ ἑαυτοῦ ψιλοῦται. οἷον ἐείκοσιν, ἀντὶ τοῦ εἴκοσιν Ἐεισάμενος, ἀντὶ τοῦ ὁμοιωθείς. καὶ Ὅμηρος,

Τῷ μιν ἐεισάμενος προσεφώνεε θεῖος ὄνειρος.

καὶ Ἔεργεν, ἀντὶ τοῦ ἐκώλυσεν. καὶ τὰ λοιπά. πλὴν τοῦ Ἑέρσα, ἡ δρόσος. καὶ Ἕεστο, ἀντὶ τοῦ ἐνεδύετο. καὶ Ἑὲ, ἀντὶ τοῦ ἑαυτὸν, ὡς καὶ Ὅμηρος,

Σκύζεσθαί σοι φησὶ θεοὺς ἑὲ δ' ἔξοχα πάντων.

καὶ Ἐέλδωρ, τὸ ἐπιθύμημα. τοῦτο δὲ ψιλούμενον εὗρον ἐν τοῖς Ἰωάννου.

Τὸ Ε πρὸ τοῦ Ζ ψιλοῦται. οἷον ἐζεκίας. καὶ ὅσα κλιτικὸν ἔχει τὸ Ε, οἷον ἔζη. ἐζηλοτύπει. καὶ τὰ λοιπά. πλὴν τοῦ Ἕζω, τὸ καθέζομαι.

Τὸ Ε πρὸ τοῦ Η δασύνεται. οἷον Ἑὴ, ἡ ἰδία. Ἑῆος, τοῦ ἀγαθοῦ, καὶ προσηνοῦς. ἑήνδανε. καὶ τὰ λοιπά. πλὴν τοῦ Ἔην, τοῦ ὑπῆρχε. καὶ Ἠνὸς, ὄνομα ποταμοῦ.

Τὸ Ε πρὸ τοῦ Θ ψιλοῦται, οἷον ἔθνος. ἔθος. Ἐθὰς, ὁ συνήθης. Ἔθειρα, ἡ θρίξ. ἐθέλω. καὶ τὰ λοιπά. πλὴν τοῦ Ἕθεν, ἀντωνυμίας, ἀντὶ τοῦ αὐτοῦ. ὡς Ὅμηρος,

Πρόσθεν ἕθεν φεύγοντα.

καὶ πάλιν,

οὐ ἕθεν ἐστὶ χερείων.

καὶ Ἑθεὶς ὁ ἐμβληθεὶς, καὶ ὁ ἀφεθείς. ἐκ τοῦ Ἕω, τὸ ἐμβάλλω, καὶ τὸ ἀπολύω.

Τὸ Ε πρὸ τοῦ Κ δασύνεται. οἷον ἑκατόν. ἕκαστος. ἑκάτερος. Ἕκηλος, ὁ ἥσυχος. ἑκών. ἑκοῦσα. Ἑκατομβαιὼν, ὄνομα μηνός. Ἕκατι, ἀντὶ τοῦ χάριν. Ἑκὰς, τὸ πόῤῥω. καὶ τὰ ἐξ αὐτοῦ, ἑκηβόλος. ἑκάεργος. ἑκατηβελέτης. σὺν τούτοις, ἑκάβη. ἕκτωρ. ἑκάτη. ἕκτη. ἑκταῖον. ἕκτον. καὶ ὅσα ἀπὸ τοῦ ἓξ ἀριθμοῦ. πλὴν τοῦ Ἐκ, προθέσεως, καὶ τῶν ἐξ αὐτῆς συγκειμένων. οἷον ἔκπτωτος. ἔκβλητος. καὶ τῶν ἀπὸ κλίσεως ἐχόντων τὸ Ε, οἷον ἐκάλουν. ἔκρινον. ἐκεκτήμην. καὶ τῶν ἀποβολὴν πασχόντων τοῦ Ε. οἷον ἐκεῖνος. ἐκεῖθεν. ἐκεῖθι. ἐκεῖσε. καὶ γὰρ λέγεται, καὶ κεῖνος, καὶ κεῖθεν, καὶ κεῖθι, καὶ κεῖσε, κατὰ ἀποβολὴν τοῦ Ε. τὸ δὲ Ἑκυρὸς, ὁ πενθερός. καὶ Ἐκεχειρία, ἡ ἄδεια, κατὰ τὰ λελεγμένα κανόνας οὐκ ἔχοντα, ὅμως ψιλοῦνται.

Τὸ Ε πρὸ τοῦ Λ, ἢ ἑνὸς ἢ δισσοῦ, ψιλοῦται, οἷον ἔλαφος. ἔλεος. Ἐλάτη, εἶδος δένδρου. ἐλεύθω. ἐλεγεῖον. Ἐλλεδανὸς, ὁ δεσμός. ἐλάχιστος. Ἐλλόβιον, τὸ ἐνώτιον. Ἐλῶ, τὸ ἐλαύνω. Ἔλλοπες, οἱ ἰχθύες. ἐλισσαῖος. καὶ τὰ λοιπά. πλὴν τοῦ ἕλλην. ἑλλάς. Ἑλλανοδίκαι, οἱ κριταὶ, οἱ εἰς τοὺς ἀγῶνας καθήμενοι. καὶ Ἕλλη, κύριον. ἀφ' ἧς καὶ ἑλλήσποντος. ἑλληνοταμίας. ἑλένη. ἕλενος. Ἑλλὸς, ὁ ἔλαφος. Ἕλω, τὸ λαμβάνω, καὶ τὸ φονεύω. καὶ τὸ ἑλκύω, (ἀφ' οὗ καὶ Ἑλώρια, τὰ σπαράγματα, καὶ ἑλκύσματα τῶν κυνῶν.) καὶ τὸ προκρίνω, ἀφ' οὗ καὶ Ἑλόμενος, ὁ προκρίνας. Ἕλος, ὁ σύμφυτος τόπος, ἑλίκη. ἑλίσσω. ἕλιξ, ἕλικος. ὅθεν καὶ Ἑλίκωπες ἀχαιοὶ, καὶ Ἑλικῶπις κούρη. ἑλιγματώδης. Ἑλικὼν, ὄρος. ἕλκω. ἑλκύω. καὶ ἑλισάβετ.

Τὸ Ε πρὸ τοῦ Λ, ἐπαγομένου τοῦ Κ ἢ τοῦ Μ, δασύνεται. οἷον ἕλκος. ἕλκω. ἑλκύω. Ἕλμινς, ὁ ἐν τῇ γαστρὶ ἐκ σήψεος τικτόμενος σκώληξ. καὶ κλίνεται ἕλμινθος. ὡς τίρυνς, τίρυνθος. εἰ δὲ ἐπάγεται ἕτερον σύμφωνον, ψιλοῦται. οἷον ἐλπίς. ἐλθεῖν. Ἔλδεται, ἀντὶ τοῦ ἐπιθυμεῖ. καὶ Ὅμηρος,

Καδδὲ κτήματα πολλὰ, τά τ' ἔλδεται ὅς κ' ἐπιδευής.

Τὸ Ε πρὸ τοῦ Μ, φωνήεντος ἢ συμφώνου ἐπαγομένου, ψιλοῦται. ἐμέ. ἐμός. Ἐμῶ, τὸ χέω. ἔμετος. ἔμπης. ἐμπόρευμα.

καὶ τὰ λοιπά. πλὴν τοῦ Ἑμὺς, ἡ χελώνη, παρὰ τὸ ἓ ἤγουν ἑαυτὴν Μύειν, τουτέστι κρύπτειν ἐντὸς τοῦ ὀστράκου. καὶ Ἕμα, τὸ ἄφεμα, καὶ ἡ πέμψις.

Τὸ Ε πρὸ τοῦ Ν ἢ ἑνὸς ἢ δισσοῦ ψιλοῦται. Ἐνὸς, ἐνιαυτός. Ἐνυὼ, ὄνομα πολεμικῆς θεᾶς. ἐξ ἧς καὶ Ἐνυάλιος, Ἄρης, καὶ σάλπιγξ ὁ τῆς Ἐνυοῦς παῖς. καὶ Ἐνῶ, ἐνόσω, τὸ κινῶ, ἐξ οὗ καὶ Ἔνοσις, ἡ κίνησις. καὶ Ἐνοσίχθων καὶ Ἐνοσίγαιος Ποσειδῶν, ὁ τὴν γῆν κινῶν. καὶ ἔναιτος. καὶ ἐναίτη ἐννέα. καὶ ἐννενήκοντα. Ἔνη, ἡ νεομηνία. καὶ ἔνηφι. Ἐνηὴς, ὁ πρᾶος. καὶ τὰ λοιπά. πλὴν τοῦ ἕνεκα, ὃ καὶ ἕνεκεν γράφεται. ἓν, ἑνός. καὶ τῶν ἐξ αὐτοῦ. Ἑνὰς, ἡ μόνας. καὶ ἑνίζω. Ἑνῶ, τὸ μιγνύω, καὶ Ἕνωσις, ἡ μίξις. καὶ Ἕντο, ἀντὶ τοῦ ἐνεδύοντο. ἐν τοῖς Θεοδωρίτου τὸ Ἕνος καὶ Ἕνη, δασυνόμενα εὗρον, ὡς ἀπὸ τοῦ ἑνὸς, καὶ δι' ἑνὸς ν, τὸ ἕνη. σὺ δὲ ψίλου αὐτὸ κατὰ τὴν κρατοῦσαν συνήθειαν.

Τὸ Ε πρὸ τοῦ Ξ δασύνεται. ἓξ, ἐπὶ ἀριθμοῦ. ἑξήκοντα. ἑξακόσια. ἑξῆς. ἑξείης, τὸ αὐτό. Ἕξω, ἀντὶ τοῦ λάβω, ἐπὶ μέλλοντος, καὶ Ἕξις, θετικόν. πλὴν μόνης τῆς ἐξ, προθέσεως, καὶ τῶν ἐξ αὐτῆς γινομένων. Ἔξωρος, ὁ παλαιός. ἐξορία. Ἔξαιτος, ὁ ἐξαίρετος, κατὰ συγκοπήν. καὶ τῶν ἀπὸ κλίσεως ἐχόντων τὸ ε. οἷον ἔξεον. ἔξαινον.

Τὸ Ε πρὸ τοῦ Ο δασύνεται. οἷον Ἑὸν, τὸ ἴδιον, καὶ τὸ ἀγαθόν. ὡς τὸ,

θεοὶ δωτῆρες ἑάων.

ἑορτή. ἑορτάζω. καὶ Ἕο, ἀντὶ τοῦ αὐτοῦ. ὡς τὸ,

ἕο μέγ' ἀμείνονα φῶτα
Ἠτίμησε. ἑλὼν γὰρ ἔχει γέρας αὐτὸς ἀπούρας.

πλὴν τῶν ἀπὸ θέματος ἐχόντων αὐτό. ἔοικεν. ἔοργεν. Ἔολπεν, ἀντὶ τοῦ ἔπραξε, καὶ ἀντὶ τοῦ ἤλπισε, καὶ Ἐὸν, τὸ ὑπάρχον.

Τὸ Ε πρὸ τοῦ Π ψιλοῦται. Ἔπω, τὸ λέγω. Ἔπος, τὸ λόγιον. ἐπαίτης. Ἐπήτης, ὁ λόγιος. ἐπὶ, πρόθεσις. καὶ ὅσα ἐξ αὐτῆς. οἷον ἐπιφορά. ἐπιτήδειος. ἐπίβουλος. καὶ ἐπήβολος. καὶ τὰ λοιπά. πλὴν τοῦ Ἕπω, ἕπομαι, τὸ ἀκολουθῶ. καὶ ἑπτὰ, ἐπὶ τοῦ ἀριθμοῦ. καὶ ἑπτὰς, ἑπτάδος. καὶ ὅσα ἀπὸ τοῦ ἑπτά.

Τὸ Ε ἐπιφερομένου τοῦ Ρ, μετὰ φωνήεντος ἢ συμφώνου, ἢ αὐτοῦ τοῦ Ρ, ψιλοῦται· εἰ μὴ ἐπάγοιτο τῷ Ρ, τὸ Δ, ἢ τὸ Μ, ἢ τὸ Κ, ἢ τὸ Π, ἢ τὸ Σ. οἷον ἔρως. ἐρωτῶ. Ἔρνος, ὁ κλάδος. Ἔρις, ἡ φιλονεικία. Ἐρύω, τὸ ἑλκύω. Ἔῤῥω, τὸ φθείρομαι. ἔρχομαι. καὶ τὰ λοιπά. εἴρηται εἰμὴ ἐπάγοιτο τῷ Ρ, τὸ Δ, ἢ τὸ Κ, ἢ τὸ Μ, ἢ τὸ Π, ἢ τὸ Σ, διὰ τὸ Ἕρδω, τὸ πράττω. τοῦτο γὰρ ἐν τοῖς Ἰωάννου δασυνόμενον εὗρον, ἔνιοι δὲ ψιλοῦσιν αὐτό, οὗ ὁ μέλλων ἔρξω. Ἕρκος, τὸ περίφραγμα. Ἕρπω, ἀφ' οὗ καὶ ἑρπετόν. καὶ ἑρπύζω. ἑρμῆς. Ἕρσα, ἡ δρόσος. καὶ Ἑρσήεις, ὁ δροσώδης. καὶ Ἕργμα, τὸ κώλυμα. Ἕρμα δὲ, τὸ ἔρεισμα, ψιλοῦται· ὡς ἀπὸ τοῦ ἔρεισμα γεγονὸς κατὰ συγκοπήν. ἐν δὲ τοῖς Θεοδωρίτου, ἀλλὰ καὶ ἐν πολλοῖς τῶν Σχεδεκτοτῶν τὸ ἔρνος δασυνόμενον εὗρον. καὶ σὺ γοῦν δάσυνε μᾶλλον αὐτό. οἱ δὲ ψιλοῦντες κατὰ ἐτυμολογίαν ψιλοῦσιν, ὡς ἐκ τῆς ἔρας φυόμενον.

Τὸ Ε πρὸ Σ, φωνήεντος ἢ συμφώνου ἢ αὐτοῦ τοῦ Σ ἐπαγομένου, ψιλοῦται. οἷον ἔσω, ἀντὶ τοῦ ἔσωθεν. ἔσοπτρον. Ἐσσαῖοι, καὶ Ἐσσηνοὶ, ὀνόματα ἐθνῶν. ἐσθὴς, ἐσθῆτος. ἐσθίω. Ἔσδρας, κύριον. Ἐσθλὸς, ἀγαθός. ἔσχατος. ἐσχάρα. καὶ τὰ λοιπά. πλὴν τοῦ Ἑσία, ἡ πρεσβεία. καὶ Ἕσσο, ἀντὶ τοῦ ἐνεδέδυσο. καὶ Ἑσσάμενος, ὁ ἐνδυσάμενος, ἀπὸ τοῦ Ἕω, ὃ σημαίνει τὸ ἐνδύομαι. ἑσπέρα. καὶ τῶν ἐξ αὐτῆς. Ἑσπόμεθα, ἀντὶ τοῦ ἀκολουθήσομεν. τοῦτο δὲ ἐν τοῖς Θεοδωρίτου ψιλούμενον εὗρον. Ἕς τε ἀντὶ τοῦ ἕως οὗ. καὶ τῶν ἐχόντων τὸ Τ μετὰ τοῦ Σ. οἷον ἑστία. ἑστιῶ. ἑστίασις. Ἑστιαῖος, κύριον. ἕστηκα, ἑστηκὼς, ἑστὼς, καὶ ἑστάναι. τὸ δὲ ἔστην, ἔστησα, ἐστάθην, ἐστησάμην, ψιλοῦνται, ὡς ἀπὸ κλίσεως ἔχοντα τὸ Ε, ἤγουν ἀπὸ αὐξήσεως. σὺν τούτοις καὶ τὸ ἔστιν, ἀντὶ τοῦ ὑπάρχει. καὶ τὸ ἔστω. ἀπὸ τοῦ Ἕω, τὸ ὑπάρχω, γινόμενα.

Τὸ Ε πρὸ τοῦ Τ ψιλοῦται. ἔτος. Ἐτεὸν, τὸ ἀληθές. ἔτυμον, καὶ ἐτήτυμον, τὸ αὐτό. Ἐτώσιον, τὸ μάταιον. Ἔτνος, τὸ φάβα. πλὴν τοῦ Ἕτοιμος, ὁ πρόχειρος. ἑτοιμάζω. ἑτοιλοπείθης. Ἕτερος, ὁ ἄλλος. Ἑταῖρος, ὁ φίλος. ἑτέρα, ἡ ἄλλη. καὶ ἑτεροῖον. Ἑταῖρα καὶ Ἑταιρὶς, ἡ πόρνη. καὶ ἑταιρεία. καὶ τὰ τούτοις ὅμοια. τινὲς δὲ καὶ τὸ Ἕτνος δασύνουσιν, ὀφεῖλον ψιλοῦσθαι· δηλοῖ δὲ τὸν ἑψημένον κύαμον· γίνεται δὲ παρὰ τὸ Ἕω, τὸ ἀπολύω, ἕτος, καὶ πλεονασμῷ τοῦ ν ἕτνος, τὸ διαλελυμένον ὑπὸ τῆς ἑψήσεως, καὶ κλίνεται ἔτνους. καὶ Ἐτνήρυσις, τὸ κοχλιάριον, παρὰ τὸ, τὸ ἔτνος ἀρύεσθαι.

Τὸ Ε πρὸ τοῦ Υ, εἴτε ἐν συνελεύσει εἴτε ἐν διαστάσει ἐστὶ, ψιλοῦται. οἷον Ἐῢς, ὁ πλατὺς, καὶ ἀγαθός. εὐρύς. εὐρύνω. εὖ, ἀντὶ τοῦ καλῶς, καὶ τὰ ἐξ αὐτοῦ. πλὴν τοῦ εὑρίσκω, εὕρεσις, εὕρημα, εὕρω, εὑρήσω. Εὔω, τὸ φωτίζω. καὶ τὰ ὅμοια.

Τὸ Ε πρὸ τοῦ Φ ψιλοῦται. ἔφεσις. ἐφετόν. ἔφεσος. ἐφραίμ. ἔφορος. καὶ τὰ ὅμοια. πλὴν τοῦ Ἑφθὸς, ὁ ἑψημένος.

Τὸ Ε πρὸ τοῦ Χ ψιλοῦται. ἔχις. ἐχθρός. ἔχω. ἐχῖνος. καὶ τὰ παραπλήσια.

Τὸ Ε πρὸ τοῦ Ψ δασύνεται ἀεί. οἷον ἕψω, καὶ ἑψῶ. ἑψήσω. ἕψημα. ἑψητόν. Ἕψω, τὸ ἀκολουθήσω, ἐπὶ μέλλοντος. εἰ μὴ ἀπὸ κλίσεως εἴη, ἤγουν αὐξήσεως. οἷον ἐψιλωμένος. ἔψυξα. ἐψώμισα. ἐψυχαγώγησα. Ἕψων, τὸ ἐσπόγγιζον. σημείωσαι καὶ τὸ Ἑψία, ὅ ἐστιν ἡ διὰ λόγων παιδιὰ, ἐκ τοῦ ἕπω, ἕψω, ὃ δηλοῖ τὸ λέξω. ἐξ οὗ καὶ Φιλέψιος, ὁ φιλοπαίγμων.

Τὸ Ε πρὸ τοῦ Ω δασύνεται. οἷον Ἕως, ἡ ἡμέρα, καὶ ἡ ἀνατολή. καὶ τὰ ἐξ αὐτοῦ. ἕωθεν. ἑωθινός. Ἕωλος, ὁ χθεσινός. ἑωσφόρος. καὶ Ἑωϋτὸν, Ἰωνικῶς ἀντὶ τοῦ ἑαυτόν. σὺν τούτοις ἕως, ἐπίῤῥημα χρονικόν. καὶ Ἕω, τὸ ἐνδύομαι, καὶ τὸ πληρῶ, καὶ τὸ πορεύομαι, καὶ τὸ ἀπολύω. καὶ ἑώρακα, ἀπὸ θέματος καὶ ἑωρακὼς, καὶ ἑωράκειν. πλὴν τοῦ Ἔω, τὸ ὑπάρχω. καὶ Ἐῶ, τὸ καταλιμπάνω. καὶ τῶν κατὰ αὔξησιν, ἐωνημένος. ἐῴκειν. ἐώργειν. περὶ ὧν αὐτίκα ἐροῦμεν.

Καθολικοὶ κανόνες περὶ πνεύματος τοῦ Ε.

Τὸ Ε πλεονάζον, ἐν μὲν λέξεσι ψιλουμέναις ἀπὸ φωνήεντος ἀρχομέναις μεταλαμβάνει τοῦ ψιλοῦ πνεύματος, ἐν δὲ δασυνομέναις, τοῦ δασέος. καὶ τοῦ μὲν προτέρου παράδειγμα τὸ ὠνημένος, Ἐωνημένος, ὁ ἀγορασάμενος. ᾠνοχόει, Ἐῳνοχόει. ᾦξεν, Ἔῳξεν, ἀντὶ τοῦ ἀνέῳξεν. ἦν, Ἔην, ἀντὶ τοῦ ὑπῆρχεν. εἴκοσιν, Ἐείκοσι. τοῦ δὲ δευτέρου τὸ ὥρων, ἑώρων. ὥρακα, ἑώρακα. ἥνδανεν, ἑήνδανεν. εἷς, ἕεις.

Τὸ Ε δασυνόμενον, ἐὰν προσλάβῃ τὸ Υ, ψιλοῦται. οἷον ἕκηλος, ὁ ἥσυχος, Εὔκηλος. ἕωλον, τὸ χθεσινὸν, Εὔωλον. τὸ δὲ Εὔαδεν, ἀντὶ τοῦ ἤρεσε, ψιλοῦται. διότι καὶ ἔαδεν. ἥμαρτον γὰρ οἱ δασύνοντες αὐτό.

Τὸ Ε κατὰ τοὺς παρῳχημένους προερχόμενον καὶ ἀποπίπτον ψιλοῦται· καὶ προέρχεται μὲν ἐν τοῖς ἐνεργητικοῖς καὶ παθητικοῖς τῶν ὁριστικῶν ῥημάτων, οἷον τύπτω ἔτυπτον. λέγω ἔλεγον. τύπτομαι ἐτυπτόμην. ἀποπίπτει δὲ ἐπὶ τῶν ἄλλων ἐγκλίσεων.

Τὸ Ε ἐν ταῖς ἀντωνυμίαις πρὸ συμφώνου ψιλοῦται. ἐγὼ, ἐμοῦ, ἐμοὶ, ἐμὲ, ἐμὸς, ἐμαυτόν. ἐκεῖνος. καὶ τὰ ὅμοια. τὸ δὲ ἑαυτὸν, καὶ τὰ τοιαῦτα, πρὸ συμφώνου μὴ ὄντα, δασύνεται.

Τὸ Ε ἐν τοῖς ἀριθμοῖς δασύνεται. ἓν. ἕνδεκα. ἓξ. ἑξήκοντα. ἑξακόσια. ἑπτά. ἑβδομήκοντα. ἑπτακόσια. ἑκτόν. πλὴν τοῦ ἐννέα. ἐννενήκοντα. καὶ εἴκοσιν.

Τὸ Ε ἐν ταῖς προθέσεσι ψιλοῦται. ἐπί. ἐξ. ἐκ. ἐν. εἰς. ἐς. ὡς καὶ πᾶν φωνῆεν ἐν αὐταῖς ἄνευ τοῦ υ.

Σημειωτέον ὅτι τὸ Ε πρὸ τριῶν φωνηέντων τοῦ Ε Η Ι ψιλοῦται ἀεί. πλὴν τοῦ Ἑέλδωρ, τὸ ἐπιθύμημα. καὶ πρὸ τῶν τριῶν δασέων τοῦ Θ Φ Χ ψιλοῦται ἀεί. πλὴν τοῦ ἑφθός. καὶ πρὸ τοῦ διπλοῦ Ψ καὶ πρὸ τοῦ Γ.

Η.

Τὸ Η πρὸ τοῦ Α ἀπὸ κλίσεως ἤτοι αὐξήσεως εὑρίσκεται, καὶ ψιλοῦται. οἷον Ἠάκει, ἀντὶ τοῦ ἐθρήνησε. καὶ Ἠάριζον, ἀντὶ τοῦ, περὶ ἔαρος ἔλεγον. καὶ τὰ ὅμοια.

Τὸ Η πρὸ τοῦ Β δασύνεται. οἷον Ἥβη, ἡ ἡλικία. καὶ τὰ ἐξ αὐτοῦ, Ἡβῶ. ἡβάσκω. Ἡβηδὸν, ἀντὶ τοῦ σὺν πάσῃ ἡλικίᾳ. πλὴν τοῦ Ἠβαιὸν, τὸ ὀλίγον, καὶ μικρόν. καὶ ἠβολεῖν. καὶ τῶν μὴ παρὰ τὴν ἥβην γινομένων. τὸ μέντοι ἡβρύνετο, ὡς ἀπὸ τοῦ ἁβρὸς γινόμενον, δασύνεται.

Τὸ Η πρὸ τοῦ Γ δασύνεται ἀεί. οἷον ἡγεμών. ἡγεμονία. ἡγοῦμαι. ἡγούμενος. ἡγήτωρ. ἡγήσιππος. ἡγεσίλαος. καὶ τὰ λοιπά. πλὴν εἰ μὴ ἀπὸ κλίσεως εἴη. οἷον Ἠγμένος, ὁ ἀγόμενος. ἠγορόωντο. ἠγροικίσθην. ἤγαμεν. ἠγαπᾶτο. τὸ μέντοι ἡγνικότες, ἐκ τοῦ ἁγνίζω γέγονε. τοῦτο δὲ ἐκ τοῦ ἁγνός· τὸ δὲ ἁγνὸς ἐκ τοῦ ἅζω ῥήματος τὴν δασεῖαν ἐφύλαξε. καὶ πλὴν εἰ μὴ κατὰ τροπήν ἐστι τοῦ Α εἰς Η οἷον Ἠγάθεος, ὁ ἄγαν θεῖος.

Τὸ Η πρὸ τοῦ Δ δασύνεται. ἡδὺς, ἡδίων, ἥδιστος. ἥδιον. ἡδονή. ἡδύνω. καὶ ἥδω. πλὴν τοῦ Ἠδωνοὶ, οἱ Μακεδόνες. Ἤδη, ἀντὶ ἀπάρτι. Ἦδος, τὸ ὄφελος, ὅπερ ἐστὶν ἄκλιτον. καὶ Ἤδει, ἀντὶ τοῦ ἠπίστατο. καὶ τῶν ἀπὸ κλίσεως ἐχόντων τὸ Η. ἠδούμην. Ἦδεν, ἀντὶ τοῦ ἔλεγεν. ἠδυνάμην. τὸ μέντοι ἡδρασμένος καὶ ἡδραιωμένος, ἀπὸ κλίσεως ἔχοντα τὸ Η, δασύνεται. ἀπὸ γὰρ τοῦ ἑδραιῶ καὶ ἑδράζω γεγόνασι.

Τὸ Η πρὸ τοῦ Ε ψιλοῦται. Ἠετίων, κύριον. Ἠέλιος, ὁ ἥλιος. ἠερίβοια. Ἠεροφοῖτις ἐριννὺς, ἡ ἐν τῷ ἀέρι φοιτῶσα.

Τὸ Η πρὸ τοῦ Ζ ψιλοῦται. οἷον Ἤζανοι, ἔθνος. εἰ δὲ εὕρηται ἀπὸ κλίσεως, ἔχει τὸ πνεῦμα τοῦ θέματος. ὡς τὸ ἅζομαι ἡζόμην.

Τὸ Η πρὸ τοῦ Θ ψιλοῦται. οἷον ἦθος. Ἠθμὸς, τὸ σακελιστήριον, ἐκ τοῦ Ἠθῶ, τὸ διϋλίζω. καὶ τὰ λοιπά.

Τὸ Η πρὸ τοῦ Ι ψιλοῦται. οἷον Ἤϊος, ἐπίθετον Ἀπόλλωνος, σημαίνει δὲ τὸν τοξότην. Ἠΐθεος, ὁ ἄγαμος, ἢ ὁ ἡμίθεος. Ἤϊα, τὰ βρώματα. Ἠϊὼν, ὁ αἰγιαλός. καὶ τὰ λοιπά.

Τὸ Η πρὸ τοῦ Κ δασύνεται. Ἥκω, τὸ ἔρχομαι. καὶ τὰ ἐξ αὐτοῦ. Ἥκιστα, ἀντὶ τοῦ οὐδαμῶς. καὶ τὰ λοιπά. πλὴν τοῦ Ἦκα, ἀντὶ τοῦ ἡσύχως. ἠκέστης. Ἠκέσατο, ἀντὶ τοῦ ἐθεράπευσεν. Ἤκαλον, ἀντὶ τοῦ ἠπάτων. καὶ τῶν ὁμοίων.

Τὸ Η πρὸ τοῦ Λ ψιλοῦται. Ἠλίας καὶ Ἠλεὶ, ὀνόματα κύρια. ἠλέκτρα. Ἠλεὸς, ὁ μάταιος. Ἠλεῖοι, ἔθνος, τοῦτο δὲ τινὲς δασύνουσιν, ἐκ τοῦ ἥλιος ἱστοροῦντες. Ἠλιτόμηνον, τὸ ἡμιτελὲς κύημα, ἀπὸ τοῦ ἀλίζω, τὸ ἁμαρτάνω, καὶ τοῦ μὴν μηνὸς, τὸ ἐστερημένον τῆς ἐννεαμήνου γεννήσεως. ἠλίθιος. ἠλιθιότης. καὶ τὰ λοιπά. πλὴν τοῦ ἥλιος. Ἧλος, τὸ καρφίον. ἡλικία. καὶ τῶν ἐξ αὐτῶν. ἡλιοειδής. Ἡλῶ, τὸ προσπαρφῶ. ἧλιξ, ἥλικος, ἡλικιώτης. Ἥλων, ἀντὶ τοῦ ἐκρατήθην, ἀπὸ κλίσεως τοῦ ἁλῶ. Ἥλισεν, ἀντὶ τοῦ συνήθροισεν. Ἥλατο, ἀντὶ τοῦ ἐπήδησεν. Ἡλκωμένος, ὁ τετραυματισμένος. τούτων γὰρ τὰ θέματα δασύνονται. τὰ δὲ λοιπὰ, ὅσα ἔχουσιν ἀπὸ κλίσεως τὸ Η, ψιλοῦνται. οὐ γὰρ ἔχουσιν ἀπὸ πρωτοτύπου φωνῆς τὸ δασὺ πνεῦμα. οἷον Ἠλόμην, τὸ ἐπλανώμην. ἠλαυνόμην. ἤλειψα. καὶ τὰ ὅμοια.

Τὸ Η πρὸ τοῦ Μ ψιλοῦται. ἦμαρ. Ἠμάτιον, ἀντὶ τοῦ καθ' ἡμέραν. Ἦμος. Ἠμαθόεις, ὁ ψαμμώδης. Ἠμωδὸν, ὄρος. Ἠμὶ, τὸ φημί. Ἠμύω, τὸ ἐπικλίνω. καὶ Ὅμηρος,

ἐπί τ' ἠμύει ἀσταχύεσσι.

καὶ τὰ λοιπά. πλὴν τοῦ ἡμέρα. ἥμερος. ἡμερῶ, ῥῆμα. ἥμισυ. ἡμιόλιον. ἡμεῖς. ἡμέτερον. ἡμεδαπός. Ἥμων, ὁ ἀκοντιστής. καὶ ἀπὸ κλίσεως Ἡμμένος, ἐκ τοῦ ἅπτω. Ἥμενος, ὁ καθήμενος. τὸ δὲ Ἠμήκει, ἀντὶ τοῦ ἐθέρισεν, ἐκ τοῦ ἀμῶ, ψιλοῦται.

Τὸ Η πρὸ τοῦ Ν ψιλοῦται. οἷον Ἦνις. ὁ ἐνιαύσιος. Ἦνοψ, ὁ μέλας, ἢ ὁ λαμπρός. Ἠνορέη, ἡ ἀνδρία. Ἠνεμόεις, ὁ ὑψηλός. καὶ Ἠνεμόεσσα, ἡ ὑψηλή. καὶ τὰ ἀπὸ κλίσεως, οἷον ἠνόχλησα. ἠναιδησάμην. ἠνιάθην. καὶ Ἠνίπαπεν, ἀντὶ τοῦ ἐκακολόγησε. πλὴν τοῦ Ἡνία, ὁ χαλινὸς, καὶ Ἡνίον, τὸ αὐτό. καὶ τῶν ἐξ αὐτοῦ. ἡνίοχος. ἡνιοχεύω. ἡνιοχεία. ἡνίκα. Ἥνδανεν, ἀπὸ τοῦ ἁνδάνω. καὶ Ὅμηρος,

Βουλὴν ἣ ῥα θεοῖσιν ἐφήνδανε μητιόωσι.

Τὸ Η πρὸ τοῦ Ξ ἐν τῷ ἥξω μέλλοντι μόνῳ εὑρίσκεται καὶ δασύνεται. τὰ δὲ ἔχοντα αὐτὸ ἀπὸ κλίσεως ψιλοῦνται. οἷον ἠξίωσα. Ἦξεν, ἀντὶ τοῦ ἤγαγε.

Τὸ Η πρὸ τοῦ Ο ψιλοῦται. οἷον Ἠονεὺς, κύριον. καὶ ἀπὸ κλίσεως Ἠόνει, ἀντὶ τοῦ ἔβραχε.

Τὸ Η πρὸ τοῦ Π ψιλοῦται. Ἠπῶ, τὸ ῥάπτω. Ἠπεδανὸς, ὁ ἀσθενῶν, καὶ ὁ χθαμαλός. Ἤπιος, ὁ πρᾶος. Ἠπεροπευτὴς, ὁ ἀπατεών. Ἤπειρος, ἡ γῆ. καὶ τὰ λοιπά. πλὴν τοῦ ἧπαρ, ἥπατος. ὅθεν καὶ ἡπατοσκοπία. καὶ τῶν ἐξ αὐτοῦ.

Τὸ Η πρὸ τοῦ Ρ, μετὰ φυσικοῦ μακροῦ, δασύνεται. οἷον ἥρα. ἥρως. Ἥρων, κύριον. ἡρώδης. ἡρωδιανός. ἡρακλῆς. μετὰ δὲ βραχέος ψιλοῦται. οἷον Ἠριδανὸς, ποταμός. Ἠρύγιον, εἶδος βοτάνης. ἠριγένεια. ἠριγόνη. Ἠρίον, ὁ τάφος. Ἤρεμος, ὁ ἥσυχος. ἠρεμῶ. ἠρεμία. Ἠριγέρων, βοτάνη, παρὰ τὸ ἐν τῷ ἦρι γηρᾶν. Ἠρινὸς καιρὸς, ὁ ἐαρινός. καὶ Ἡρέταινος, κύριον. τὸ μέντοι ἡρόδοτος καὶ ἡρόφιλος, ἐκ τοῦ ἥρα γεγονότα, κατὰ τροπὴν τοῦ μακροῦ εἰς βραχὺ δασύνονται. τὸ δὲ ἠρόμην. καὶ ἠρήρειστο. καὶ ἤρετο. ἐκ κλίσεως ὄντα, ψιλοῦται.

Τὸ Η πρὸ τοῦ Σ, φωνήεντος ἢ συμφώνου ἐπαγομένου, ἢ αὐτοῦ τοῦ Σ, δασύνεται. οἷον Ἧσις, ἡ ἡδονή. καὶ ὅσα ἀπὸ τοῦ ἥδω. Ἥσθην, ἀντὶ τοῦ ηὐφράνθην. καὶ Ἧσαι, ἀντὶ τοῦ εὐφρᾶναι. ἡσαΐας. ἡσαῦ. ἡσίοδος. Ἡσιόνη, κύριον. Ἥσυχος, ὁ ἤρεμος. ἡσυχάζω. ἡσυχία. Ἥσσων, ὁ ἐλάττων. Ἧσσα, ἡ τροπή. πλὴν τοῦ Ἠσὶν, ἀντὶ τοῦ φησὶν, ὅπερ ἀπὸ θέματος ἔχει τὸ η. καὶ χωρὶς τῶν ἀπὸ κλίσεως· Ἦσα, ἀντὶ τοῦ ἔλεξα. Ἦσται, ἀντὶ τοῦ λέλεκται. Ἤσθιον, τὸ ἔτρωγον. Ἦσθα, ἀντὶ τοῦ ὑπῆρχες. Ἤσθη, ἀντὶ τοῦ ἐλέχθη. τὸ μέντοι Ἧστο, ἀντὶ τοῦ ἐκάθητο. καὶ Ἧσται, ἀντὶ τοῦ καθῆσθαι, ἐκ τοῦ ἕω γινόμενα, δασύνονται.

Τὸ Η πρὸ τοῦ Τ ψιλοῦται. Ἦτορ, ἡ ψυχή. Ἦτρον, τὸ ἧπαρ, ἢ τὸ ἔντερον. Ἦτα, τὸ στοιχεῖον. Ἤτοι, ἐφερμηνευτικὸς σύνδεσμος. καὶ ἀπὸ κλίσεως ἠτήσατο. ἠτιάσατο. ἠτύχησεν. ἠτίμησε. καὶ ἕτερα. πλὴν τοῦ ἧττα. καὶ ἡττῶ. καὶ ἥττων. καὶ τῶν ἀπὸ κλίσεως δασυνομένων. Ἡταιρηκὼς, ὁ πορνεύσας. καὶ ἡτοίμασα. τὸ δὲ ἥτις ἐκ τοῦ ἣ ἄρθρου καὶ τοῦ τὶς γέγονε, διὸ καὶ δασύνεται.

Τὸ Η πρὸ τοῦ Υ ψιλοῦται ἀεί. Ἠῢς, ἡ πλατύς. ἠϋγένειος. ἠΰκομος. Ἠΰτε, ἀντὶ τοῦ καθά.

Τὸ Η πρὸ τοῦ Φ δασύνεται ἀεί. ἥφαιστος ἡφαιστίων. χωρὶς τῶν ἀπὸ κλίσεως· ἠφειδηκώς. Ἤφυσεν, ἀντὶ τοῦ ἤντλησεν. ἠφίει. καὶ τὰ λοιπά.

Τὸ Η πρὸ τοῦ Χ ψιλοῦται. ἠχῶ. καὶ ὅσα ἀπὸ τοῦ ἦχος. καὶ ὅσα ἀπὸ κλίσεως. Ἦχεν, ἀντὶ τοῦ ἔφερεν. ἠχθέσθη. καὶ τὰ λοιπά. πλὴν τοῦ Ἧχι, ἀντὶ τοῦ ὅπου.

Τὸ Η πρὸ τοῦ Ψ ἀπὸ κλίσεως τοῦ ἅπτω καὶ ἅπτομαι εὕρηται, διὸ καὶ δασύνεται. ἡψάμην. ἥψατο. ἧψε.

Τὸ Η πρὸ τοῦ Ω ψιλοῦται ἀεί. οἷον Ἠὼς, ἡ ἡμέρα. Ἠὼν, ὁ αἰγιαλός. Ἠῶθι, ἀντὶ τοῦ ἐκ πρωΐας. καὶ ἀπὸ αὐξήσεως. Ἠωρημένος, Ἰωνικῶς, ὁ χρονίσας. καὶ τὰ ὅμοια.

Καθολικὸς κανὼν περὶ πνεύματος τοῦ Η.

Τὸ Η πρὸ τοῦ Φ ἢ τοῦ Χ, ἢ καὶ πρὸ δύο δασέων, ἢ τῷ δασεῖ ὑποτασσομένου ἀμεταβόλου, ψιλοῦται. ἠφίει. ἦχος. ἤχθαιρον. ἤχλυον. σημείωσαι τὸ ἥφαιστος καὶ ἡφαιστίων.

Σημείωσαι ὅτι τὸ Η πρὸ τοῦ Β. Γ. Σ. Φ. Ψ. δασύνεται ἀεί. πλὴν τῶν ἀπ' αὐξήσεως. ἠφίει. ἠφάνισε. καὶ τῶν ἀπὸ πλεονασμοῦ. ἠβαίος. ἠγάθεος. πρὸ δὲ παντὸς φωνήεντος ψιλοῦται ἀεί. ὡσαύτως καὶ πρὸ τοῦ Ξ καὶ πρὸ τοῦ Θ.

Τὸ Η ἐν τροχαϊκῇ λέξει ψιλοῦται. Ἦδος, τὸ ὄφελος. Ἦμαρ, ἡ ἡμέρα. ἦμος. Ἠμὶ, τὸ λέγω. καὶ τὰ ὅμοια. πλὴν τοῦ Ἧλος, ὅπερ ἐκ τοῦ ἵημι. ἥσω, γίνεται. καὶ ἧπαρ, ὅπερ ἀπὸ τοῦ ἥδω ἐστίν.

Ι.

Τὸ Ι πρὸ τοῦ Α ψιλοῦται. ἰατρός. ἰάκωβος. ἴαμβος. ἰάπτω. ἰάμβλιχις. ἴαμα. ἰατήρ. ἰάσων. καὶ τὰ λοιπά.

Τὸ Ι πρὸ τοῦ Β ψιλοῦται. Ἴβυκος, κύριον. Ἶβις, τὸ ζῶον. Ἴβηρες, ἔθνος.

Τὸ Ι πρὸ τοῦ Γ ψιλοῦται. οἷον Ἰγνὺς, Ἰγνύη, τὸ ὄπισθεν τοῦ γόνατος. ἰγνάτιος. ἴγδα. πλὴν τῶν ἀπὸ κλίσεως. Ἵγμαι, ἀντὶ τοῦ ἔρχομαι. καὶ ἵγμενος.

Τὸ Ι πρὸ τοῦ Δ ψιλοῦται. οἷον Ἶδος, ὁ κόπος, καὶ ὁ ἱδρώς. Ἰδίω, τὸ κοπιῶ. ἴδιον. Ἴδε, ἀντὶ τοῦ θέασαι, καὶ ἀντὶ τοῦ, ἰδοὺ ἰδού. Ἴδη, ἡ βοτάνη, καὶ τὸ ὄρος. καὶ Ἰδαῖος, ἀπὸ τῆς ἴδης. πλὴν εἰ μὴ τῷ Δ τὸ Ρ ἐπάγοιτο. σεσημείωται τὸ ἴδρις· ἐν τισι δὲ δασυνόμενον εὗρον αὐτό.

Τὸ Ι πρὸ τοῦ Ε ψιλοῦται. ἰεσσαί. ἰαχονίας. ἰεμενεί. πλὴν τοῦ ἱερός. καὶ τῶν ἐξ αὐτοῦ. ἱερεύς. ἱέρεια. Ἱερεῖον, τὸ θῦμα. ἱερεύω. ἱερουργῶ. ἱεριχώ. ἱερουσαλήμ. ἱέραξ. καὶ ἀπὸ κλίσεως, Ἵει, ἀντὶ τοῦ ἔπεμπεν. ἱεὶς, ἡ μετοχή. Ἵεμαι, ἀντὶ τοῦ προθυμοῦμαι. ἵετο. καὶ τὰ ὅμοια.

Τὸ Ι πρὸ τοῦ Ζ δασύνεται ἀεί. Ἵζω, τὸ κάθημαι. καὶ τὰ ἐξ αὐτοῦ. ἱζήσω. ἱζάνω.

Τὸ Ι πρὸ Η ψιλοῦται. οἷον ἰησοῦς. ἰητρός. ἰητήρ. Ἴημι, τὸ πορεύομαι. Ἴη, ἀντὶ τοῦ ἔλθη. πλὴν τοῦ Ἱέω, ἱῶ, τὸ πέμπω, καὶ Ἵημι, τὸ αὐτὸ, ὧν ὁ παρατατικὸς ἵην.

Τὸ Ι πρὸ τοῦ Θ ψιλοῦται ἀεί. Ἰθὺς, ὁ εὐθύς. Ἰθαγενὴς, ὁ ἐγχώριος. ἰθάκη. ἰθακήσιος. Ἰθώμη, πόλις. καὶ τὰ λοιπά.

Τὸ Ι πρὸ τοῦ Κ ψιλοῦται. Ἴκελος, ὅμοιος. ἴκαρος. Ἰκάριον, πέλαγος. Ἰκόνιον, πόλις. Ἰκρίον, τὸ ὀρθὸν ξύλον. Ἰκτὶς, ὄρνεον. ἰκμάς. ἰκμαλέον. πλὴν τοῦ ἱκανός. ἱκανῶ, ῥῆμα. Ἱκῶ, τὸ ἱκετεύω· ἀφ' οὗ καὶ ἱκετεία, καὶ ἱκέσιος, καὶ ἱκεσία. Ἵκω, τὸ καταλαμβάνω, ποιητικὸν διὰ τοῦ ι γραφόμενον. ἀφ' οὗ καὶ ἱκάνω, παράγαγον. ἱκνοῦμαι καὶ ἀπὸ κλίσεως Ἵκετο, ἀντὶ τοῦ ἦλθε, καὶ ἶκτο τὸ αὐτό.

Τὸ Ι πρὸ τοῦ Λ, ἢ ἑνὸς ἢ δισσοῦ, ψιλοῦται. Ἴλιος, ἡ Τροία. Ἶλος, κύριον. Ἰλὺς, ὁ βόρβορος. Ἴλη, ἡ τάξις. Ἴλλος, ὁ ὀφθαλμός. Ἰλλὰς, τὸ σχοινίον. καὶ Ἰλλούστριος, τὸ ἀξίωμα. Ἰλεὸς, ὁ φωλεός. ἴλιγγος. ἰλιγγιῶ. πλὴν τοῦ Ἵλαος, ὁ εὐμενὴς, καὶ Ἵλεως, Ἀττικῶς τὸ αὐτό. ἱλῶ, ῥῆμα. ἱλαρός. ἱλαρότης. ἱλαρίων. ἱλάσκω. ἱλασμός. καὶ Ἱλήκοις, ἀντὶ τοῦ ἵλεως εἴης.

Τὸ Ι πρὸ τοῦ Μ, φωνήεντος ἐπιφερομένου, δασύνεται ἀεί. Ἵμερος, ἡ ἐπιθυμία. Ἱμέριος, κύριον. Ἱμὰς, ὁ λῶρος. ἱμάσθλη. Ἱμῶ, τὸ ἀντλῶ. ἱμονιά. Ἱμέρα, πόλις. πλὴν τοῦ Ἴμεναι, ἀντὶ τοῦ πορεύεσθαι. καὶ Ἴμεν, ἀντὶ τοῦ πορευόμεθα. Συμφώνου δὲ ἐπαγομένου ψιλοῦται. Ἴμβρος, νῆσος. καὶ ἕτερα.

Τὸ Ι πρὸ τοῦ Ν ψιλοῦται. Ἴναχος, ποταμός. Ἰνὼ, ὄνομα θεᾶς. Ἰνίον, τὸ νεῦρον. Ἲν, Ἰνὸς, ἡ δύναμις. Ἰνῶ, τὸ ἐνδυναμῶ. πλὴν τοῦ Ἵνα, αἰτιολογικοῦ συνδέσμου. καὶ Ἵνα, ἀντὶ τοῦ ὅπου, τοπικοῦ ἐπιῤῥήματος.

Τὸ Ι πρὸ τοῦ Ξ ψιλοῦται. Ἲξ, ὁ σκώληξ. Ἰξίων, κύριον. πλὴν τοῦ Ἵξομαι, ἀντὶ τοῦ παραγίνομαι. καὶ Ἷξον, ἀντὶ τοῦ κατέλαβον. ὡς τὸ,

Οἱ δ' ἷξον κοίλην Λακεδαίμονα κητώεσσαν.

τὸ μέντοι Ἵξαλος, ὁ ὁρμητικός. καὶ ἰξὸς, εἰ καὶ ἀπὸ τοῦ ἷξαι γέγονεν, ἀλλ' ὅμως ψιλοῦται. πολλάκις γὰρ ἡ παραγωγὴ εἴωθεν ἀλλάσσειν καὶ τὸ πνεῦμα. ὡς ἐν τῷ ἅμα, ἄμυδις. Ἰδίω, ἱδρώς. ἵξω, ἰξός. ὁδὸς, ὀδυσσεύς. εἴρω, Εἱρμός. εἴργω, Εἱρκτή.

Τὸ Ι πρὸ τοῦ Ο ψιλοῦται ἀεί. οἷον, ἰοβιανός. ἰοβάτης. ἰόλαος. ἰορδάνης. Ἴον, τὸ ἄνθος. Ἰοθὸρ, ὁ πενθερὸς τοῦ Μωϋσέως. ἰοκάστη. ἰός. καὶ τὰ λοιπά. ζήτει, ἐὰν τὸ ἰὸς ἐλήφθη καὶ εἰς τὸ βέλος. οὐ γὰρ εὗρον διαστολὴν τούτου ἐν τοῖς περὶ πνευμάτων. παρὰ μέντοι τοῖς Νεωτέροις Γραμματικοῖς καὶ δασυνόμενον τοῦτο κατέλαβον, ἐκ τοῦ ἵημι, τὸ πέμπω, καὶ ψιλούμενον ἐκ τοῦ ἰοῦσθαι.

Τὸ Ι πρὸ τοῦ Π, ἑνὸς ὄντος, ψιλοῦται. Ἴπτω, τὸ βλάπτω. Ἶπνος, ὁ φοῦρνος. Ἶπος, ἡ παγὶς τῶν μυῶν. καὶ Ἶπες, οἱ σκώληκες. ἀπὸ πτώσεως σεσημείωται τὸ Ἵπταμαι, δασυνόμενον. Δισσοῦ δὲ ὄντος δασύνεται. οἷον Ἵππος. καὶ τὰ ἐξ αὐτοῦ συγκείμενα. ἱππεύω. ἱππεύς. ἱππίας. ἱπποκράτης. ἱππῶναξ. Ἱππόκομος, ὁ τῶν ἵππων ἐπιμελούμενος. ἱππηλάτης. ἱπποπηλάσιον. ἱππομανής.

Τὸ Ι πρὸ τοῦ Ρ ψιλοῦται. Ἶρος, ὁ πτωχός. Ἶρις, τὸ τόξον. πλὴν τῶν ἀπὸ ἱερὸς γινομένων κατὰ κρᾶσιν τοῦ ι καὶ ε εἰς ι μακρόν. οἷον Ἱρὸς, ὁ ἱερός. Ἱρεῖον, τὸ θῦμα. Ἵρηξ, ὁ ἱέραξ. τινὲς δὲ παραλόγως ψιλοῦσι τὰ τοιαῦτα, λέγοντες ὅτι τὰ συγκοπέντα κατὰ Αἰολεῖς ψιλοῦνται. οἷον ὥρμησεν, Ὦρσεν. ἁρμόσας, Ἄρσας. πρὸς οὓς ἔστιν εἰπεῖν, ὅτι οὔτε τὸ ὥρμησεν ἐγένετο κατὰ συγκοπὴν ὦρσεν, οὔτε τὸ ἁρμόσας, ἄρσας. ἀλλὰ ἀπὸ τοῦ Ὄρω, τὸ διεγείρω, ὁ μέλλων ὀρῶ, καὶ Αἰολικῶς ὄρσω. καὶ Ἄρω, τὸ ἁρμόζω, ἀρῶ, καὶ Αἰολικῶς ἄρσω. τὰ τοιαῦτα ψιλοῦνται γινόμενα. οὔτε μὴν τὸ ἱρὸς καὶ ἱρεῖον καὶ ἵρηξ, συνεκόπησαν Αἰολικῶς, ἀλλὰ κρᾶσιν ἔπαθον τοῦ ι καὶ ε εἰς ι ὡς ἐν τῷ ὄφιες ὄφις ἐστὶν εὑρεῖν.

Τὸ Ι πρὸ τοῦ Σ, εἰ μὴ τὸ Τ ἐπάγοιτο, ψιλοῦται ἀεί. Ἶσος, ὁ ὅμοιος. Ἶσις, ὄνομα θεᾶς. ἰσίδωρος. ἰσμηνίας. ἰσμαήλ. Ἰσπανία, χώρα. ἰσχάς. ἰσχίον. ἰσχνός. ἰσχύς. εἰ δὲ ἐπάγοιτο τὸ Τ δασύνεται. Ἵστωρ, ὁ ἐπιστήμων. ἱστορία. Ἱστιαῖος, κύριον. Ἷσμα, τὸ κτίσμα. ἵστημι. ἱστός. ἱστάριον. ἱστίον. σημείωσαι, τὸ Ἴστω, ἀντὶ τοῦ γινωσκέτω. ἰστέον. καὶ Ἴστρος, ποταμός.

Τὸ Ι πρὸ τοῦ Τ ψιλοῦται. Ἴτυς, ἡ περιφέρεια τοῦ ἅρματος. καὶ Ἴτυς, ὁ υἱὸς τῆς ἀηδόνος. ἰταλία. ἰτέα. Ἰτέον, ἀντὶ τοῦ πορευτέον. Ἰταμὸς, ὁ ἀναίσχυντος. Ἴτης, ὁ πτωχός. καὶ τὰ λοιπά.

Τὸ Ι πρὸ τοῦ Υ ψιλοῦται. Ἴυγξ, εἶδος ὀρνέου, καὶ ὀργάνου. Ἰΰζω, τὸ βοῶ. καὶ τὰ ὅμοια.

Τὸ Ι πρὸ τοῦ Φ ψιλοῦται. ἴφικλος. ἴφιτος. Ἶφι, ἀντὶ τοῦ ἰσχυρῶς, καὶ λίαν. καὶ ἴφια μῆλα. καὶ Ἶφις, ὁ ταχύς. Ἰφιγένεια καὶ Ἰφιάνασσα, κύρια. καὶ τὰ λοιπά.

Τὸ Ι πρὸ τοῦ Χ ψιλοῦται. ἴχνος. ἰχώρ. ἰχθύς.

Τὸ Ι πρὸ τοῦ Ψ ψιλοῦται. ἶψ, ὁ σκώληξ. ἰψιφαγία. Ἴψω, ἐπὶ μέλλοντος, ἀντὶ τοῦ βλάψω.

Τὸ Ι πρὸ τοῦ Ω ψιλοῦται. ἰώσηπος. Ἰωάννης. ἴων, ἴωνος. ἰωνᾶς. ἰωήλ. ἰώβ. Ἰωκὴ, ἡ δίωξις. Ἴωξις, τὸ αὐτό. Ἰῶτα, τὸ στοιχεῖον. καὶ τὰ λοιπά. Ἰῶ δὲ, τὸ πέμπω, δασύνεται.

Καθολικὸς κανὼν περὶ πνεύματος τοῦ Ι.

Σημειωτέον, ὅτι τὸ Ι πρὸ παντὸς φωνήεντος ψιλοῦται ἀεὶ, καὶ πρὸ τῶν τριῶν δασέων τοῦ Θ. Φ. Χ, πρὸ τοῦ Ζ διπλοῦ ἀεὶ δασύνεται, πρὸ δὲ τῶν ἑτέρων δύο διπλῶν Ξ. Ψ. ἀεὶ ψιλοῦται. καὶ πρὸ τοῦ Β. Γ. πρὸ δὲ τοῦ Μ δασύνεται ἀεὶ, πλὴν τοῦ Ἴμβρος.

Ο.

Τὸ Ο πρὸ τοῦ Α ψιλοῦται. οἷον Ὄαροι, αἱ γυναῖκες. καὶ Ὀαρίζειν, τὸ γυναικὶ συνομιλεῖν, ἤγουν μίγνυσθαι. καὶ Ὀαριστὺς, ἡ τῶν γυναικῶν ὁμιλία. καὶ τὰ λοιπά.

Τὸ Ο πρὸ τοῦ Β ψιλοῦται. οἷον ὀβολός. ὀβελός. ὀβελίσκος. Ὄβριμος, ὁ ἰσχυρός. Ὀβότας, κύριον. Ὀβάρης, ὁ πέρσης. καὶ τὰ ὅμοια.

Τὸ Ο πρὸ τοῦ Γ ψιλοῦται. οἷον Ὄγμος, ἡ τάξις. ὄγκος. ὄγδοος. ὀγδοήκοντα. Ὄγμιος, ἐπίθετον τοῦ Ἡρακλέος. καὶ τὰ λοιπά.

Τὸ Ο πρὸ τοῦ Δ ψιλοῦται. οἷον ὀδύνη. ὀδοὺς, ὀδόντος. Ὀδὰξ, ἀντὶ τοῦ μετὰ τῶν ὀδόντων. ὀδωδώς. καὶ τὰ λοιπά. πλὴν τοῦ ὁδός. καὶ τῶν ἐξ αὐτοῦ. ὁδεύω, ὁδίτης, ὁδοιπόρος, Ὁδοιδόκος, ὁ λῃστής. σὺν τούτοις καὶ Ὁδὶ ἀντὶ τοῦ οὗτος, καὶ ὁ δεῖνα. τὸ μέντοι Ὀδυσσεὺς οἱ μετὰ δι' ἑνὸς σ γράφοντες δασύνουσιν αὐτό· ἐτυμολογοῦντες παρὰ τὸν ὁδὸν καὶ τὸ ὕω τὸ βρέχω. Ἱστορεῖται γὰρ ὅτι ἡ μήτηρ Ἀντίκλεια πρὸς γάμον δοθεῖσα τῷ Λαέρτῃ ἐγέννησεν αὐτὸν καθ' ὁδὸν ὑετοῦ γενομένου. διὸ καὶ Ὀδυσσεὺς ἐκλήθη. Οἱ δὲ ψιλοῦσιν, ἐτυμολογοῦντες ἀπὸ τοῦ Ὀδύσσω, τὸ ὀργίζομαι. ὀργίλῳ γὰρ ἐῴκει, ὅτε ἐδημηγόρει. καθὰ δηλοῖ καὶ Ὅμηρος λέγων περὶ αὐτοῦ,

Φαίης κεν ζάκοτόν τέ τιν' ἔμμεναι ἄφρονά τ' αὔτως.

φαίνονται οὖν καὶ ἀμφότεραι αἱ ἐτυμολογίαι ἀρεσταί, εὕρηται δὲ παρ' Ὁμήρῳ ψιλούμενον καὶ δι' ἑνὸς σ γραφόμενον διὰ τὸ μετρούμενον, ὡς ἐν τῷ,

Εὗρεν ἔπειτ' Ὀδυσῆα Διὶ μῆτιν ἀτάλαντον.

καὶ ἐν ἄλλοις πολλοῖς. εἰ δὲ καὶ παρὰ τὴν ὁδὸν ἐτυμολογεῖται, οὐδὲν καθέστηκεν ἄτοπον, πῶς οὐ δασύνεται. εἴρηται γὰρ ὡς αἱ παραγωγαὶ πολλάκις εἰώθασιν ἀμείβειν τὰ πνεύματα. ἅμα, ἄμυδις. ἰδίω, ἱδρώς. οὕτως καὶ ὁδὸς, Ὀδυσσεύς.

Τὸ Ο πρὸ τοῦ Ε ψιλοῦται. Ὀεργίλος, κύριον. Ὀέτης, ὁ ὁμοέτης, κατὰ συγκοπήν. ὡς καὶ Ὅπατρος, ὁ ὁμόπατρος.

Τὸ Ο πρὸ τοῦ Ζ ψιλοῦται. Ὄζος, ὁ κλάδος. ὄζω, ῥῆμα. καὶ τὰ λοιπά.

Τὸ Ο πρὸ τοῦ Θ ψιλοῦται. οἷον ὀθόνη. Ὀθνεῖος, ὁ ξένος. Ὄθων, κύριον. Ὄθομαι, τὸ ἐπιστροφὴν ποιοῦμαι. ὡς τὸ,

Οὐ δ' ὄθομαι κοτέοντος.

πλὴν τοῦ Ὅθι, ἀντὶ τοῦ ὅπου. καὶ ὅθεν.

Τὸ Ο πρὸ τοῦ Ι ψιλοῦται. ὀϊστός. Οἴω, τὸ ὑπολαμβάνω. καὶ τὰ λοιπά.

Τὸ Ο πρὸ τοῦ Κ ψιλοῦται. οἷον ὄκνος. ὀκλάζω. ὀκρίβας. Ὀκριόεις, ὁ φρικώδης καὶ ὁ ταχύς. Ὀκέλλω, τὸ προσορμίζω τὴν ναῦν. καὶ τὰ λοιπά. πλὴν τῶν κατὰ τροπὴν τοῦ Π εἰς Κ γινομένων κατὰ διάλεκτον Ἰωνικήν. οἷον Ὁκόσον, ἀντὶ τοῦ ὁπόσον. Ὁκοῖος, ἀντὶ τοῦ ὁποῖος. Ὅκως, ἀντὶ τοῦ ὅπως. καὶ τῶν ὁμοίων.

Τὸ Ο πρὸ τοῦ Λ ἢ ἑνὸς ἢ δισσοῦ ψιλοῦται, συμφώνου ἐπαγομένου ἢ φωνήεντος. ὄλεθρος. ὄλυμπος. ὄλισθος. Ὄλορος, κύριον. ὀλίγος. ὀλλύω. ὄλλω. Ὀλοοίτροχος, ὁ στρογγύλος λίθος. Ὄλβος, ὁ πλοῦτος. Ὀλμειὸς, ποταμός. Ὄλπη, ἡ λήκυθος, ὅ ἐστι τὸ ἐλαιοδόχον ἀγγεῖον, ἐλαιόπη τὶς οὖσα. πλὴν τοῦ ὅλος. Ὅλμος, ἡ ἴγδη. Ὁλκὸς, τὸ σῶμα τοῦ ὄφεως, καὶ πᾶν ἐπίμηκες σῶμα, καὶ ὁ λιμὴν ἐν ᾧ αἱ ὁλκάδες ἵστανται. Ὁλκὰς, ἡ ναῦς. Ὁλκὴ, τὸ βάρος. ὅλως, ἐπίῤῥημα. ὁλικῶς. ὁλότης. καὶ τῶν ἀπὸ τοῦ ὅλος.

Τὸ Ο πρὸ τοῦ Μ, ἑνὸς ἢ δισσοῦ, φωνήεντος ἢ συμφώνου ἐπαγομένου, ψιλοῦται. οἷον Ὀμῶ, τὸ ὀμνύω. Ὀμιχῶ, τὸ οὐρέω. ὀμίχλη. ὄμμα. ὀμματῶ. ὄμβρος. Ὄμφαξ, ἡ ὠμὴ σταφυλή. Ὀμόργνυσιν, ἀντὶ τοῦ ἀπομάσσει, καὶ ἀποσπογγίζει. πλὴν τοῦ ὁμοῦ, καὶ τῶν ἐξ αὐτοῦ. οἷον ὅμαιμον. Ὅμορος, ὁ γείτων. ὁμευνέτης. ὁμῆλιξ. ὅμηρος. ὁμώνυμος. ὅμιλος. ὁμιλία. ὅμοιος. Ὁμοκλὴ, ἡ ἀπειλή. καὶ ὁμαλός.

Τὸ Ο πρὸ τοῦ Ν, ἐν ταῖς ὑπὲρ μίαν συλλαβὴν λέξεσι, φωνήεντος ἢ συμφώνου ἐπαγομένου, ψιλοῦται. οἷον ὄναρ. ὄνυξ. Ὄνθος, ἡ τῶν βοῶν κόπρος. ὄνειρος. Ὀνείατα, τὰ βρώματα. καὶ Ὅμηρος,

Οἳ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον.

πρόσκειται ἐν ταῖς ὑπὲρ μίαν συλλαβὴν λέξεσι. διὰ τὸ Ὃν, τὸ ἴδιον. καὶ Ὃν, ἀντὶ τοῦ ὅντινα, ἄρθρον ὑποτακτικὸν πτώσεως αἰτιατικῆς τῶν ἑνικῶν. Ὂν δὲ, τὸ ὑπάρχον, ψιλοῦται, Ἐὸν γὰρ ἦν. καὶ ἀφαιρέσει τοῦ ε γέγονεν ὄν.

Τὸ Ο πρὸ τοῦ Ξ ψιλοῦται. οἷον ὄξος. ὀξύς. Ὀξύη, εἶδος δένδρου. Ὀξυόεν δόρυ, τὸ ταχὺ, ἢ τὸ ἐστομωμένον, ἢ τὸ ἀπὸ ὀξύης δένδρου κατεσκευασμένον. (ὡς καὶ Μείλινον, τὸ ἀπὸ μελίας· καὶ Οἰσύϊνον, τὸ ἀπὸ οἰσύας.) τινὲς δὲ τὸ καλῶς ἐξεσμένον ἀποδεδώκασιν. ἀπὸ γὰρ τοῦ ξύω γίνεται ξυόεν, καὶ πλεονασμῷ τοῦ Ο ὀξυόεν.

Τὸ Ο πρὸ τοῦ Π ψιλοῦται. οἷον ὀπίσω. Ὀπὴ, ἡ τρύπα. ὀπώρα. καὶ Ὀπωρινὸς, καιρὸς, καὶ βοῤῥᾶς.

Ὡς δ' ὅτ' ὀπωρινὸς βορέης νεαρδέ' ἀλωὴν
Αἶψα ξηραίνει.

Ὀπαδὸς, καὶ Ὀπάων, ὁ ἀκόλουθος. πλὴν τῶν ἐχόντων τῷ Π ἐπαγόμενον τὸ Λ, οἷον ὅπλον. ὁπλίζω. Ὁπλὴ, ὁ ὄνυξ. καὶ τῶν ἀναφορικῶν. οἷον ὅποι, καὶ ὅπου. ὁπόθεν. ὁπόθι. ὁπότε. ὁποῖος. ὁπόσος. ὁπότερος. ὅπως. ὁπωσοῦν καὶ ὁποσονοῦν.

Τὸ Ο πρὸ τοῦ Ρ, φωνήεντος ἢ συμφώνου ἐπαγομένου, ἢ τοῦ Ρ αὐτοῦ, ψιλοῦται. οἷον ὀρεύς. ὀρέγω. ὀρέστης. Ὄρος, ὁ βουνός. ὀργίζομαι. Ὀῤῥὸς, τὸ γάλα. Ὀῤῥωδῶ, τὸ δειλιῶ. ὀρχοῦμαι. ὀρθός. Ὄρπηξ, ὁ κλάδος. ὀρφεύς. καὶ τὰ λοιπά. πλὴν τοῦ Ὁρῶ, τὸ βλέπω. ὅρος, ἀρσενικόν. καὶ τῶν ἐξ αὐτοῦ. οἷον ὁρίζω. ὁρισμός. ὁριστικόν. Ὅριον, τὸ ὁροθέσιον. καὶ πλὴν τῶν ἐχόντων τὸ Κ ἢ τὸ Μ ἐπαγόμενον. οἷον Ὅρμος, ὁ λιμήν. ἀφ' οὗ καὶ Ὁρμίζω, τὸ ἐλλιμενίζω. ὁρμαθός. ὁρμῶ. ὁρμῶμαι. ὁρμώμενος. Ὄρμενος δὲ, ὁ διεγερθεὶς, ὡς ἀπὸ τοῦ ὄῤῥω, ψιλοῦται. ὅρκος. ὁρκίζω. τὸ Ὄργιον, τὸ μυστήριον, δασυνόμενον εὗρον ἔν τε τοῖς Θεοδωρίτου, καὶ ἐν ἑτέροις, καίπερ ἐν τῇ συνηθείᾳ ψιλούμενον. τὸ δὲ Ὄρπηξ ἐν πολλοῖς ψιλούμενον. ἀπὸ γὰρ τοῦ ὀρούειν εἰς ὕψος, ψιλοῦσιν, ἀπὸ δὲ τοῦ ἕρπειν δασύνουσι τινές. Ὁρμαθὸς παρά τισι ψιλοῦται.

Τὸ Ο πρὸ τοῦ Σ, ἑτέρου συμφώνου ἢ αὐτοῦ τοῦ Σ ἐπαγομένου, ἐν ταῖς ὑπὲρ μίαν συλλαβὴν λέξεσι, ψιλοῦται. οἷον ὄστρεον. ὄστρακον. ὀστοῦν. Ὀσφὺς, ὁ περὶ τοὺς νεφροὺς τόπος. ἀφ' οὗ καὶ Ὀσφυὴξ, ὁ κεκλασμένος καὶ ἀσθενὴς τὴν ὀσφύν. ἐκ τοῦ Ἄγω, ἄξω, ὃ δηλοῖ τὸ κλῶ. ὡς τὸ, γέροντος ὀσφυῆγος. Ὀστία, ἡ θύρα παρὰ Ῥωμαίοις. καὶ Ὀστιάριος, ὁ θυρωρός. Ὄσσα, ἡ φήμη, καὶ ἡ μαντεία, καὶ ὄνομα ὄρους. Ὄσσω, τὸ βλέπω. ἀφ' οὗ καὶ Ὄσσε, τὼ ὀφθαλμὼ, δυϊκῶς. ὄσφρησις καὶ τὰ λοιπά. πρόσκειται ἐν ταῖς ὑπὲρ μίαν συλλαβὴν λέξεσι. διὰ τὸ Ὃς, ὁ ἴδιος. Ὃς, ἀντὶ τοῦ οὗτος. καὶ Ὃς ἀντὶ τοῦ ὅστις. φωνήεντος δὲ ἐπαγομένου δασύνεται. οἷον ὅσιος. ὁσιῶ. ὅσος. ὅσον. καὶ Ὁσία, ἡ ταφή. τὸ μέντοι Ὄσιρις, κύριον, φωνήεντος ἐπαγομένου, ψιλοῦται.

Τὸ Ο πρὸ τοῦ Τ ψιλοῦται. οἷον Ὄτλος, ἡ κακοπάθεια. καὶ Ὀτλῆσαι, τὸ κακοπαθῆσαι. Ὀττοτοῖ, (γρ. θρηνητικὸν) ἀντὶ τοῦ φεῦ. Ὀτρηρὸς, ὁ σπουδαῖος. Ὀττεία, ἡ μαντεία. καὶ τὰ λοιπά. πλὴν τοῦ ὅτε. ὅτι. ὅταν. Ὅτῳ, ἀντὶ τοῦ ᾧτινι. Ὁτεοίσιν, ἀντὶ τοῦ οἷστισι. καὶ ὅ τε, ἀντὶ τοῦ ὅπερ παρ' Ὁμήρῳ, ὡς τὸ,

Ἀλκὴν δ' οὔτοι δῶκεν, ὅ, τε κράτος ἐστὶ μέγιστον.

Τὸ Ο πρὸ τοῦ Φ ψιλοῦται. ὄφις. Ὀφνεὶ, κύριον. ὄφελος. Ὀφειλὴ, τὸ χρέος. ὀφλισκάνω. ὀφρύς. Ὄφρα, ἀντὶ τοῦ ὅπως, ὅπερ, ἀπὸ τοῦ τόφρα κατὰ ἀφαίρεσιν γινόμενον τοῦ ψιλοῦ τ ὤφειλε δασύνεσθαι. ἀλλ' ὅμως ψιλοῦται. διὰ τὸν λέγοντα κανόνα. τὸ Ε Ο πρὸ δασέος ψιλοῦται. ὄφις. ἔθνος. ἔφεσις. Ὄφελον, ἀντὶ τοῦ εἴθε. ὡς τὸ, ὄφελον κατευθυνθείησαν αἱ ὁδοί μου. Ὀφφίκιον, παρὰ Ῥωμαίοις, ἁπλῶς πᾶσα ὑπηρεσία.

Τὸ Ο πρὸ τοῦ Χ ψιλοῦται. Ὄχος, τὸ ἅρμα. ὀχεύς. ὄχανον. ὀχετός. ὀχυρός. ὄχλος. ὀχληρός. Ὄχα, ἀντὶ τοῦ ἐξόχως καὶ τὰ λοιπά.

Τὸ Ο πρὸ τοῦ Ψ ψιλοῦται. ὄψις. ὀψία. ὀψέ. ὄψον. ὀψώνιον. ὀψοφάγος. ὀψάριον.

Καθολικοὶ κανόνες περὶ πνεύματος τοῦ Ο.

Τὸ Ο πλεονάζον ἐν ταῖς ἀπὸ συμφώνων ἀρχομέναις λέξεσι ψιλοῦται. βριμῶ, ὄβριμος. βέλος, ὀβελός. σταφὶς, ὀσταφίς. κρυόεις, ὀκρυόεις.

Τὸ Ο πρὸ τοῦ Α. Β. Γ. ψιλοῦται ἀεὶ, καὶ πρὸ τοῦ Ε. Ζ. Κ. Θ. Ι. πλὴν μόνων τοῦ ὅθι, καὶ ὅθεν. ὡσαύτως καὶ πρὸ τοῦ Γ. Ξ. καὶ Φ. Χ. Ψ.

Τὸ Ο πρὸ τοῦ Ρ δασυνόμενον, ὅτε προσλάβῃ τὸ Υ, ψιλοῦται. οἷον ὅρος, οὖρος.

Υ.

Τὸ Υ πάσης λέξεως ἄρχον δασύνεται. οἷον ὑάκινθος. ὑϊός. ὑγεία. ὕδωρ. ὕελλος. ὕθλος. ὕλη. ὑμέτερος. ὕννις. ὑπήνη. ὑρκανία, Ὗς, ὁ χοῖρος. ὕφος. ὕψος. υἱός. υἱωνός. πλὴν τοῦ Ὕμμες, ἀντὶ τοῦ ὑμεῖς, Αἰολικῶς. ἀλλὰ διὰ τὸν ἄνω ῥηθέντα κανόνα ὁ Τυραννίων παρὰ τῷ ποιητῇ ἐδάσυνε τὸ ὕμμες. καὶ Ὕρχας, τὸ ταριχηρὸν ἀγγεῖον.

Ω.

Τὸ Ω ἐν ταῖς ὑπὲρ μίαν συλλαβὴν λέξεσι ψιλοῦται. οἷον ὧδε καὶ ὡδὶ, ἀντὶ τοῦ ἐνταῦθα. ὦχρος, καὶ ὠχρός. ὠχρότης. Ὦσχος, ὁ κλάδος. Ὠμὸς, ὁ ἀπηνής. Ὦμος, ἡ ῥάχις. Ὦτος, κύριον. Ὠστὸς, ὁ ἀποδεδιωγμένος. Ὦρος καὶ Ὠρίων, κύρια. πλὴν τοῦ Ὥρα, ὁ καιρὸς καὶ τῶν παρ' αὐτοῦ Ὧρος, ὁ χρόνος. ὥριμος. Ὥρα, ἡ εὐμορφία. καὶ τῶν ἐξ αὐτοῦ. ὡραῖος. ὡραΐζω. Ὡρακίζω, τὸ ὠχριῶ. καὶ ὡρακιῶ, τὸ αὐτό. Ὡρικὸς βοῦς, ὁ ὡραῖος. καὶ τῶν παρὰ τὸ Ὥρα, ἡ φροντίς. Ὡρῶ, τὸ φυλάσσω. ὡρεῖον. Ὧδε, ἀντὶ τοῦ κατὰ τοιοῦτον τὸν τρόπον. καὶ Ὡδὶ, τὸ αὐτό. πρόσκειται ἐν ταῖς ὑπὲρ μίαν συλλαβὴν λέξεσι. διὰ τὸ ᾧ, ἀντὶ τοῦ ᾧτινι, ὑποτακτικὸν ἄρθρον πτώσεως δοτικῆς τῶν ἑνικῶν. καὶ ᾧ, τῷ ἰδίῳ. ὧν, ἀντὶ τοῦ ὧντινων, ἐπὶ γενικῆς τῶν πληθυντικῶν. καὶ ὧν, τῶν ἰδίων. τὸ μέντοι Ὦ, σχετλιαστικὸν ἐπίῤῥημα, καὶ ὦ τῆς κλητικῆς, καὶ ὦ ῥῆμα ὑποτακτικὸν, ἀντὶ τοῦ ὑπάρχω. καὶ ὢν, ὁ ὑπάρχων, ψιλοῦται.

Καθολικοὶ κανόνες περὶ πνευμάτων.

Πᾶν φωνῆεν εἰς Ρ λῆγον, ἐπιφερομένου συμφώνου δασέος, ψιλοῦται. οἷον ἀρχή. ἔρχομαι. ὀρφανός. ὀρθός. καὶ τὰ ὅμοια. διὸ καὶ οἱ Αἰολεῖς, ὡς εἴρηται, τὸ Ὕρχας ψιλοῦσιν.

Λῆμμα μὲν διὰ δύο μμ, τὸ κέρδος· Λῆμα δὲ δι' ἑνὸς μ, ἡ ἀνδρεία.

Λέχος καὶ Εὐνὴ διαφέρει. Λέχος μὲν γάρ ἐστιν ἡ κλίνη· Εὐνὴ δὲ, ἡ ἐπ' αὐτῆς στρωμνή.

Λαβεῖν καὶ Δέξασθαι διαφέρει. Λαβεῖν μὲν γάρ ἐστι τὸ ἀνελέσθαι μηδενὸς διδόντος· Δέξασθαι δὲ, τὸ παρά τινος προτεινόμενον.

M.

Μάχη καὶ Πόλεμος διαφέρει. Μάχη μὲν γὰρ ἡ ἐν πολέμοις ἐστὶν ἐνέργεια· Πόλεμος δὲ, ὁ χρόνος, καὶ ἡ πρὸς τὴν μάχην παρασκευή.

Μηρία καὶ Μηρὸς διαφέρει. Μηρία μὲν γὰρ, τὰ ἐναγιζόμενα τοῖς θεοῖς· Μηρὸς δὲ, τὰ μὴ οὕτως ἔχοντα.

Μνᾶται καὶ Μνηστεύεται διαφέρει. Μνᾶται μὲν ὁ ἀνὴρ γυναῖκα· Μνηστεύεται δὲ ἡ γυνὴ ἄνδρα.

N.

Νῆες τῶν Πλοίων διαφέρουσιν. Νῆες μὲν αἱ φορτηγοὶ, αἱ καὶ μέγισταί εἰσιν· Πλοῖα δὲ, τὰ προμήκη καὶ στρατιωτικά.

Νῦν καὶ Νυνὶ διαφέρει. τὸ μὲν γὰρ Νυνὶ ἐπὶ μόνου τοῦ ἐνεστῶτος· τὸ δὲ Νῦν ἐπὶ τῶν τριῶν χρόνων. ὡς τὸ, νῦν ἔσται ὁ ἀγών. νῦν ἡ μάχη πέπαυται.

O.

Οὗτος καὶ Οὑτοσὶ διαφέρει. Οὑτοσὶ μὲν γὰρ μετὰ τοῦ ι δεικτικὸν μόριον. Οὗτος δὲ, δεικτικὸν καὶ ἀναφορικόν.

Οὐδὲν διὰ τοῦ δ καὶ Οὐθὲν μετὰ τοῦ θ μακρῷ διαφέρει. τὸ μὲν γὰρ Οὐδὲν δῆλον, ἐκ τοῦ οὔτε καὶ ἓν σύγκειται, ἤγουν οὔ τε ἕν, οὔ τε δύο.

Ὀλίγον καὶ Μικρὸν διαφέρει. τὸ μὲν γὰρ Ὀλίγον ἐπὶ ἀριθμοῦ· τὸ δὲ Μικρὸν ἐπὶ μεγέθους τέτακται.

Ὁ Ὄρθρος καὶ Πρωῒ διαφέρει. Ὄρθρος μὲν γὰρ ἡ πρὸ ἀνατολῆς ὥρα· Πρωῒ δὲ, τὸ ἐκ τῆς ἡλίου περιωπῆς φῶς, ὡς καὶ τὸ ὀψὲ καὶ ἑσπέρας.

Οὕνεκα καὶ Εἵνεκα διαφέρει. τὸ μὲν Οὕνεκα σημαίνει τὸ ὅτι· τὸ δὲ Εἵνεκα, ἀντὶ τοῦ χάριν.

Ὅτι καὶ Διότι διαφέρει. τὸ μὲν γὰρ Διότι αἰτίαν δηλοῖ· τὸ δὲ Ὅτι, ποτὲ μὲν αἰτίαν, ποτὲ δὲ βεβαίωσιν. αὐτίκα, ὅτι μὲν ἐκλείπει ἡ σελήνη, ἴσμεν, διότι δὲ οὐκέτι.

Οἴκαδε τοῦ Εἰς οἶκον διαφέρει. Τὸ μὲν γὰρ εἰς τὴν οἰκίαν βαδίζειν, Οἴκαδε φαμέν· τὸ δὲ εἰς ἑτέραν, Εἰς οἶκον.

Π.

Πρεσβεύειν τοῦ Πρεσβεύεσθαι διαφέρει. Πρεσβεύεσθαι τὸ μὲν πέμπειν πρέσβεις· Πρεσβεύειν δὲ τὸ πέμπειν πρεσβευτὴν οἱ Ἀττικοὶ λέγουσιν.

Πόλις καὶ Ἄστυ διαφέρει. Πόλις μὲν τὸ οἰκοδόμημα· Ἄστυ δὲ, ἡ κατασκευὴ τῆς πόλεως.

Πάγετος μὲν τὸ κρύος· Παγετὸς δὲ, ὁ χειμών.

Πλούσιος Ἀφνειοῦ καὶ Ὀλβίου διαφέρει. Πλούσιος μὲν γὰρ ὁ πολλὴν περιουσίαν ἔχων· Ἀφνειὸς δὲ, ὁ ἀπ' ἐνιαυτοῦ τὴν οὐσίαν συλλέγων· Ὄλβιος δὲ ἐστιν, ὁ τελείαν εὐδαιμονίαν ἔχων.

Πένης καὶ Πτωχὸς διαφέρει. Πένης μὲν γὰρ ἀπὸ τοῦ ἐργάζεσθαί τι καὶ πονεῖν περὶ τὸν βίον· Πτωχὸς δὲ, ὁ ἐπαίτης.

Πολεμικὸς καὶ Αἰχμητὴς διαφέρει. Πολεμικὸς γὰρ ὁ ἔμπειρος τῶν πολέμων· Αἰχμητὴς δὲ, ὁ ἐμπείρως τοῖς κατὰ πόλεμον ὅπλοις χρώμενος.

P.

Ῥέφανον καὶ Ῥάφανον διαφέρει. Ῥέφανον μὲν γὰρ τὸ παρ' ἡμῖν λεγόμενον· Ῥάφανον δὲ, ἡ κράμβη.

Ῥεῖθρον Ῥεύματος διαφέρει. Ῥεῖθρον μὲν γάρ ἐστιν ὁ τόπος, δι' οὗ φέρεται· Ῥεῦμα δὲ, τὸ ὕδωρ.

Σ.

Σημεῖον Τέρατος διαφέρει. Σημεῖον μὲν γάρ ἐστι τὸ ἀπὸ τοῦ ἀέρος γενόμενον· Τέρας δὲ, τὸ ἐν γῇ.

Σημεῖον καὶ Τεκμήριον διαφέρει. τὰ μὲν παρῳχημένα Σημείοις πιστεῦσθαι, τὰ δὲ μέλλοντα Τεκμηρίοις.

T.

Τεῖχος καὶ Τειχίον διαφέρει. Τεῖχος μὲν γὰρ ἐπὶ πόλεων· Τειχίον δὲ, ἐπὶ ἐπαύλεων.

Τιμωρεῖν καὶ Τιμωρεῖσθαι διαφέρει. Τιμωρεῖν μὲν γὰρ τὸ τοῖς ἀδικουμένοις βοηθεῖν· Τιμωρεῖσθαι δὲ τὸν ἀδικήσαντα. Τιμωρὸς Πατρόκλου Ἀχιλλεὺς, Τιμωρεῖται δὲ Ἕκτορα.

Τοὔνεκα καὶ Οὕνεκα διαφέρει. τὸ μὲν γάρ ἐστι τούτου ἕνεκα· τὸ δὲ Οὕνεκα διότι.

Τήθη καὶ Τηθὺς διαφέρει. Τήθη μὲν γάρ ἐστιν ἡ μάμμη· Τηθὺς, ἡ τοῦ πατρὸς ἢ τῆς μητρὸς ἀδελφή.

Τύραννοι καὶ Βασιλεῖς διαφέρουσιν. Τύραννοι μὲν γὰρ οἱ ἐξ ὠμότητος ἢ ἁρπαγῆς τὴν βασιλείαν δεξάμενοι· Βασιλεῖς δὲ, οἱ πατροπαραδοτ. . . . .

Υ.

Ὑποψία Ὑφοράσεως διαφέρει. Ὑποψία μὲν γάρ ἐστι κακοῦ τινος ὑπόνοια· Ὑφόρασις δὲ, δόξα ἐπὶ τὸ χεῖρον ταχθεῖσα.

Ὑπόσχεσις Ἐπαγγελίας διαφέρει. Ὑπισχνεῖται μὲν ὁ τὸ ἀξιωθὲν διδόναι μέλλων· Ἐπαγγέλλεται δὲ, ὁ δίχα παρακλήσεως παρέχειν τι δυνάμενος, ἢ βουλόμενος.

Φ.

Φλαῦρον καὶ Φαῦλον διαφέρει. Φλαῦρον μὲν γάρ ἐστι τὸ μικρὸν καὶ κοῦφον κακόν· Φαῦλον δὲ, τὸ μέγα. ὡς καὶ ἐν ἄλλοις παρεδηλώσαμεν.

ΛΕΣΒΩΝΑΚΤΟΣ
ΠΕΡΙ
ΣΧΗΜΑΤΩΝ.

Σχῆμα λόγου ἐστὶ πλοκὴ τῶν τοῦ λόγου μερῶν κατά τινα διάλεκτον. Εἴδη τῶν Σχημάτων εἴκοσι καὶ δύο. Εὐβοεικὸν, Κορίνθιον, Ἰβύκειον, Χαλκιδιακὸν, Ἀλκμανικὸν, Κλαζομένιον, Κολοφώνιον, Σικελικὸν, Νησιωτικὸν, Τῶν ἐπὶ τῆς Ἀσίας Ἑλλήνων, Ἰωνικὸν, Ἀττικὸν, Θηβαϊκὸν, Ἰωνικὸν καὶ Δώριον, Δώριον τῶν ἐν Πελοποννήσῳ Δωριέων, Ἀττικόν. Ἄλλο Ἀττικόν. Περιηγηματικὸν, Ἄλλο Ἀττικόν. Ἄλλο πολλοῖς εἰρημένον, Ῥοδιακὸν, καὶ Ἀσιανόν.

Εὐβοεικόν. ὡς τὸ, ἡδὺς παιδίον βαδίζων. Οὐδετέροις γὰρ ὀνόμασι συντάσσουσιν ἀρσενικὸν καὶ θηλυκὸν ἐπίθετον καὶ μετοχάς. ὡς καὶ Ὅμηρος,

Δῶρόν τοι ἐγὼ τέκνον φίλε τοῦτο δίδωμι.

Κορίνθιον. ὡς τὸ, ὅπως ἔσται τάδε ἔργα. καὶ, ἵνα εἴδομεν ἄμφω. Ὁριστικοῖς γὰρ χρῶνται, ἀνθ' ὑποτακτικῶν, ὡς τὸ,

Ὁππότ' ἂν ἡβήσει τε καὶ ἧς ἱμείρεται αἴης.

Ἰβύκειον. ὡς τὸ, λαμπρὸν παμφαίνῃσι, καὶ ὁ λύχνος φαίνῃσι. ἀντίστροφόν ἐστι τῷ Κορινθίῳ, ὑποτακτικῷ χρώμενον ἀντὶ ὁριστικοῦ.

Χαλκιδιακόν. ὡς τὸ, Σωκράτης ἀπολογούμενός ἐστιν, ἀντὶ τοῦ ἀπολογεῖται. Τὰ γὰρ ὁριστικὰ τῶν ῥημάτων εἰς μετοχὰς ἀναλύει, μετὰ τοῦ ἔστιν, ἢ εἰμί. ὡς καὶ Ὅμηρος,

Αἰεὶ γὰρ ῥίγιστα θεοὶ τετληότες εἰμέν.

Ἀλκμανικόν. ὡς τὸ, Πλάτων ἐπορεύθησαν καὶ Ἀριστοτέλης. Γίνεται γὰρ δυεῖν ὀνομάτοιν μεταξὺ πίπτοντος πληθυντικοῦ ῥήματος.

Ἔνθα μὲν εἰς Ἀχέροντα, Πυριφλεγέθων τε ῥέουσι
Κωκυτός τε·
Εἰ δέ κ' Ἄρης λάχωσι μαχῆς καὶ Φοῖβος Ἀπόλλων.

Κλαζομένιον. ὡς τὸ, πορεύομαι σὺν ἀγῶνι, ἀντὶ τοῦ εἰς ἀγῶνα. Ἀλλάσσων τὴν αἰτιατικὴν εἰς δοτικὴν, καὶ τὴν πρόθεσιν εἰς πρόθεσιν. ὡς τὸ, σὺν πατρίδι ἔβη, ἀντὶ τοῦ εἰς τὴν πατρίδα· οὕτως Ἀντιφῶν. Ἀντίστροφον δὲ τούτῳ τὸ Ποιητικόν·

Ζεὺς γὰρ ἐς ὠκεανὸν μετ' ἀμύμονας Αἰθιοπῆας
Χθιζὸς ἔβη μετὰ δαῖτα.

ἐνήλλακται γὰρ ἡ δοτικὴ εἰς αἰτιατικὴν, καὶ ἡ ἐν πρόσθεσις εἰς τὴν μετά· ἀντὶ τοῦ, ἐν τοῖς ἀμύμοσιν Αἰθίοψιν, εἶπε, μετ' ἀμύμονας.

Κολοφώνιον. ὡς τὸ, χαλινὸν τῷ ἵππῳ, ἀντὶ τοῦ ἵππου. ἡ κεφαλὴ τῷ ἀνθρώπῳ, ἀντὶ τοῦ ἀνθρώπου. ὡς καὶ Ὅμηρος,

Νηῒ παρὰ πρύμνῃ,

ἀντὶ τοῦ νηός. καὶ,

Ἀλλ' οὐκ Ἀτρείδῃ Ἀγαμέμνονι ἥνδανε θυμῷ.

Σικελικόν. δέξαι ἱερείᾳ, ἀντὶ τοῦ, παρὰ τῆς ἱερείας. Γίνεται δὲ παραλαμβανομένης δοτικῆς πτώσεως, ἀντὶ γενικῆς, καὶ κατὰ παράλειψιν τῆς παρὰ, προθέσεως· ὡς καὶ Ὅμηρος,

Θέμιστι δὲ καλλιπαρῄῳ
Δέκτο δέπας·

ἀντὶ τοῦ παρὰ τῆς Θέμιδος. καὶ,

Δέξατό οἱ σκῆπτρον·

ἀντὶ τοῦ παρ' αὐτοῦ.

Νησιωτικόν. πλούσιος ἦν χρυσοῦ, ἀντὶ τοῦ ἕνεκα χρυσοῦ. Γίνεται δὲ οὕτως, τὰ συντασσόμενα τῇ δοτικῇ ῥήματα αὐτοὶ γενικῇ συντάσσουσιν. ὡς καὶ Ὅμηρος,

ἀφνειότερος χρυσοῖό τ' ἐσθῆτός τε.

Ἀττικοὶ δὲ ἐκφέρουσι τοιαῦτα, τὸ ἕνεκα προστιθέντες.

Τῶν ἐπὶ τῆς Ἀσίας Ἑλλήνων. ἀρέσκει με, ἀντὶ τοῦ μοι. Οὕτως δὲ γίνεται, συντασσομένης δοτικῆς πτώσεως ῥήμασιν αὐτοὶ ἐπὶ αἰτιατικὴν προφέρουσι, συνήντησέ με, ἀντὶ τοῦ μοι.

Καὶ δ' Ἀχιλεὺς τοῦτόν γε μάχῃ ἔνι κυδιανείρῃ
Ἔῤῥιγ' ἀντιβολῆσαι,

ἀντὶ τοῦ τούτῳ. καὶ Ἀττικοὶ, ὡς καὶ Ἀριστοφάνης ὁ κωμικὸς, ἀρέσκει με, λέγων. Ἀλλὰ καὶ τὰ ῥήματα, ἃ γενικῇ πτώσει συντάσσεται, ἐκφέρουσιν ἐπὶ αἰτιατικὴν, αὐτός με ἤρετο, καὶ ἀφαιρεῖταί με, ἀντὶ τοῦ ἐμοῦ. Καὶ Ὅμηρος,

ἐπεί μ' ἀφέλεσθέ γε δόντες.

Ἰωνικόν. Συνέβη τρωθῆναι τὸν Ἀλέξανδρον ἵππον, ἀντὶ τοῦ, τοῦ Ἀλεξάνδρου. συντασσομένων γὰρ τῶν πρός τι ἐχόντων ὀνομάτων παρ' ἡμῖν ἐπὶ γενικῆς πτώσεως, ἐκεῖνοι ἐπὶ αἰτιατικὴν ἐκφέρουσιν· ὡς τὸ,

γυναῖκα τεθήσατο μαζὸν,

ἀντὶ τοῦ γυναικὸς μαζὸν ἐθήλασεν. ὅθεν τινὲς λέγουσι τὸ γυναῖκα εἰρῆσθαι ἀντὶ τοῦ κτητικοῦ τὸ γυναικεῖον. ὡς Ἀττικοὶ, Ἕλληνα στρατὸν, ἀντὶ τοῦ Ἑλληνικόν. ἦν δὲ αὐτῷ εἰπεῖν ταῖς τοιαύταις συντάξεσιν, εἰ μὴ ἐκείνως διελέγοντο οἱ Ἕλληνες τὰ πρός τι ἔχοντα συντάσσοντες αἰτιατικαῖς πτώσεσιν,

Τρῶας στίχας οὖλος Ἄρης ὤτρυνε μετελθών·

τὰς στίχας. τινὲς δὲ τὰς Τρωὰς, ὀξυτόνως καὶ θηλυκῶς, ἀλλ' ἐλέγχει αὐτοὺς ἡ γραφὴ, χωρὶς οὖσα τοῦ ι. ἐπὶ κασιγνήτοιο φόνοιο. ἀντὶ τοῦ, κασιγνήτου, τὸ γὰρ προσηγορικὸν ἔλαβεν ἀντὶ τοῦ κτητικοῦ.

Ἀττικὸν, σύνηθες Ξενοφῶντι καὶ Πλάτωνι. στρατευόμενοι Θηβαῖοι ἐπὶ Ἀττικήν. Ἀλκιβιάδης ἐξελθὼν τῶν πυλῶν. τὸ γὰρ κατ' ἐπιφορὰν δεῖ εἰπεῖν. Λακεδαιμόνιοι ἡττήθησαν. Γίνεται δὲ οὕτως, τῇ ἐπιφορικῇ ἐκφράσει προσυνταττομένης ὀρθῆς πτώσεως, ἀντὶ γενικῆς ἢ δοτικῆς· ἡ μὲν γάρ ἐστι προσηγορικὴ, ἡ δὲ ἐπιφορικὴ, ἐξ ὧν ἀμφοτέρων ὁ λόγος αὐτοτελὴς γίνεται· καὶ ὥσπερ ἐλλείπων πάλιν αὐτοτελὴς ἑτέρας συνδεούσης. ὡς καὶ Ὅμηρος,

Οἱ δὲ δύο σκόπελοι, ὁ μὲν οὐρανὸν εὐρὺν ἱκάνει.

ἀντὶ τοῦ, τῶν δύο σκοπέλων.

Νεστορίδαι δ' ὁ μὲν οὔτασ' Ἀτύμνιον.
Ἄμφω δ' ἑζομένω, γεραρώτερος ἦεν Ὀδυσσεύς.

Ἴωνες δὲ καὶ πολλῶν φράσιν οὐ σώζοντες πάλιν, ὡς γὰρ ἡμεῖς λέγομεν, ἐξερχομένῳ μοι ἔδωκαν, αὐτοί φασιν, ἐξερχόμενος δέδωκέ μοι. Χαλκιδεῖς δὲ οἱ ἐν Εὐβοίᾳ ποιοῦσιν αἰτιατικαῖς πτώσεσιν ἐπιφορὰς ποιοῦντες καὶ ζευγνῦντες· ὡς Διονύσιος ὁ Χαλκιδεὺς, οὗτος γὰρ ἔφη περὶ Μυρίνης τῆς Ἀμαζόνος, τὴν Μυρίναν ἐξελθοῦσαν καὶ περιβλεψαμένην, ἔδοξεν αὐτὴν τὰς ἄλλας Ἀμαζόνας ἀνακαλέσασθαι.

Θηβαικόν. ἔστι δὲ καὶ ἄλλο σχῆμα ἀπὸ Βοιωτίας, ὃ δὴ καὶ Πινδαρικὸν λέγεται, ὅτι πολλάκις αὐτῷ κέχρηται. Γίνεται δὲ οὕτως, Λακεδαιμόνιοι πολεμεῖ Ἀθηναίοις· μελιῤῥόθων δ' ἕπεται

πλοκαμοὶ, ἀντὶ τοῦ ἕπονται. Καὶ, διήγεται σάρκες, ἀντὶ τοῦ διήγοντο. Ὅμηρος,

Καὶ δὴ δοῦρα σέσηπε νεῶν καὶ σπάρτα λέλυνται.

ἀντὶ τοῦ σεσήπασιν.

Ἰωνικὸν δὲ καὶ Δώριον ὁμοῦ εἰλημμένον ἀπὸ τῶν κατὰ Σικελίαν Δωριέων. Γίνεται δὲ παραλαμβανομένου ἀπαρεμφάτου ῥήματος ἀντὶ προστακτικοῦ ἐν ταῖς τοιαύταις συντάξεσιν, ὅταν λέγῃ τις, δός μοι τὸ βιβλίον, αὐτὸ δοῦναι φάσκει, καὶ Ὅμηρος,

Ἐλθὼν δ' ἐς κλισίην Ἀγαμέμνονος Ἀτρείδαο
Πάντα μάλ' —— ἀγορευέμεν.

ἀντὶ τοῦ ἀγόρευε. καὶ,

Πειρᾶν δ' ὥς κεν Τρῶες,

ἀντὶ τοῦ πείραζε. Χρῶνται δὲ τῷ ἀπαρεμφάτῳ ἐπὶ ἑνικῷ προστακτικῷ καὶ πληθυντικῷ ὁμοίως· γράφειν λέγοντες, ἀντὶ τοῦ γράφετε. Ὅμηρος,

Ὑμεῖς δ' ἄλλοθεν ἄλλος ἐρητύειν ἐπέεσσιν,

ἀντὶ τοῦ ἐρητύετε.

Δώριον, μάλιστα τῶν ἐν Πελοποννήσῳ Δωριέων. Γίνεται δὲ οὕτως. παραλαμβανομένης δοτικῆς πτώσεως, ἀντὶ αἰτιατικῆς, παρεπομένης τῆς διὰ προθέσεως, οἷον εἴ τις φαίη· τῷ στρατηγῷ οἱ πολέμιοι ἀπώλοντο. ἀντὶ τοῦ, διὰ τὸν στρατηγόν. καὶ τούτῳ ἐσφάγη, ἀντὶ τοῦ διὰ τοῦτο. Ὅμηρος,

Σοὶ δὲ πάντες μαχησόμεθα,

ἀντὶ τοῦ διὰ σέ.

Ἀττικὸν δὲ γίνεται οὕτως. Συντασσομένης γενικῆς πτώσεως ἀντὶ δοτικῆς κατ' ἐπιφοράν. οἷον εἴ τις φαίη, οὐκ ἂν ἡμῖν συνέβη εὐσεβῶν ὄντων τοῦτο παθεῖν. καὶ, ἡμῖν εἴρηται πράγματα μὴ πλευσάντων· καὶ Ὅμηρος,

ἡμῖν —— κατεκλάσθη φίλον ἦτορ,
Δεισάντων φθόγγον τε βαρὺν αὐτόν τε πέλωρον.

Ἄλλο Ἀττικόν. τῷ, ἵνα, μορίῳ. Ἀττικὰ μόρια ἀντὶ ὑποτακτικοῦ, οἷον· ἵνα θύσαιτε. ὁ Πλάτων τούτῳ κέχρηται καὶ Ὅμηρος. ἵνα μήποθεν ἄλλος ἴαυοι. καὶ, ἵν' ἀθανάτοισι φαείνοι.

Περιηγητικόν. ᾧ πυκνοτέρως χρῶνται οἱ περιηγηταί. γίνεται δὲ οὕτως. Προταττομένης αἰτιατικῆς πτώσεως κατ' ἐπιφορὰν, ὅταν ἐν μεταβάσει λόγου ἐπενέγκωμεν ὀρθὴν πτῶσιν. οἷον, παραπλέομεν δύο πόλεις, αἳ καλοῦνται Σηστὸς καὶ Ἄβυδος. καὶ Ὅμηρος.

Ἀνδρ' ὀρόω κρατερὼ ἐπὶ σοὶ μεμαῶτε μάχεσθαι,
Ἶν' ἀπέλεθρον ἔχοντε, ὁ μὲν τόξων εὖ εἰδώς.

ἀντὶ τοῦ, τὸν μέν.

Τῶν δὲ Ἀττικῶν τὸ συντάσσειν τὸ μὴ μετὰ μέλλοντος χρόνου. μὴ πείσομαι. ἔστι δὲ τὸ σχῆμα τῶν περὶ Ἀντιφῶντα. σπανίως δὲ καὶ Ὅμηρος κέχρηται. ἡμεῖς δὲ τὰς ἐξ ἀμφοτέρων φωνὰς τήντε μὴ, ἀπαγόρευσιν, καὶ τὴν οὐ, ἄρνησιν, ὑποτακτικοῖς ῥήμασι συντάσσομεν· οἷον, οὐ μὴ διαλεχθῶ σήμερον, οὐ μὴ εἴπω. Ἀνακύπτει δ' ἐκ τούτου τοῦ σχήματος καὶ ἕτερον Δώριον, ὃ γίνεται τῆς αὐτῆς συντάξεως χρεοκοπουμένης. οἷον, οὐκ εἴπω σοι, ἀντὶ τοῦ, οὐκ ἐρῶ σοι. καὶ, σήμερον οὐκ ἴδῃς, ἀντὶ τοῦ, μὴ ἴδῃς. καὶ τὸ,

Οὐ γάρ πω τοίους ἴδον ἀνέρας, οὐδὲ ἴδωμαι.

Ἄλλο πολλοῖς εἰρημένον. Ὅταν τὸ ῥῆμα συντάσσεται ἄλλαις πτώσεσιν. οἷον τὸ θαυμάζω, καὶ τὸ ὀνειδίζω, καὶ λοιδοροῦμαι, καὶ ὀκνῶ, καὶ ἐνοχλῶ. ἔστι δὲ πλεονάζοντα παρ' Ἀττικοῖς. Δοτικαῖς γὰρ συντάσσουσι πτώσεσιν, οἷόν ἐστι τὸ μέμφομαί σοι, καὶ ὀνειδίζω σοι· οἱ δὲ Δωριεῖς, ἅπερ τοῖς Ἀττικοῖς ἐπὶ δοτικῆς συνήθη, ταῦτα ἐπὶ γενικὴν μετάγουσι, μέμφομαί σου λέγοντες, ὡς πλήρη φασίν. Ἀττικοὶ δὲ συντάσσουσιν αἰτιατικαῖς πτώσεσι γενικὰς, καὶ δοτικῇ τὴν αἰτιατικήν.

Ῥόδιον. τῶν Δωριζόντων ἐν τῇ ἀκράτῳ δοτικῇ, ἤτοι τὴν ὀρθὴν καὶ αἰτιατικὴν πτῶσιν ἐπ' αἰτιατικὴν συντάσσουσι δοτικῇ πτώσει· οἷον εἴ τις εἴποι, κάλεσον τοῦ ἀνθρώπου, ἀντὶ τοῦ τὸν ἄνθρωπον. τεκμήριον δ' ἂν εἴη ἐκ τοῦ σχήματος μάλιστα τῶν Δωριζόντων, διά τε τὴν τὶν, καὶ τὴν σφὶν ἀντωνυμίαν· αὕτη γὰρ οὐδεμίας πτώσεως, ἢ δοτικῆς δηλωτική. καὶ Ὅμηρος,

Ζεύς με πατὴρ προέηκε τεῒν τάδε μυθήσασθαι.

Ἀσιανὸν, μᾶλλον ἐπιχωριάζον τοῖς ἐπὶ Σικελίας Ἕλλησιν. Γίνεται δὲ οὕτω συνηρτημένον ἔχον ὁριστικοῖς ῥήμασιν ἀντὶ ὀρθῆς. εἰ θέλεις ἀναστάντα κλεῖσαι τὴν θύραν, ἀντὶ τοῦ ἀναστάς. ἀπελθόντα λούσασθαι, ἀντὶ τοῦ ἀπελθών. Ἐναντίον δ' ἂν εἴη τούτῳ τῷ σχήματι, ὁ ἔμπαλιν ἔχει τὴν μετοχὴν ἐπὶ ὀρθῆς πτώσεως ἀντὶ αἰτιατικῆς. οἷον εἴ τις εἴποι, λέγεται Ἀλέξανδρον Μακεδόνα τρῶσαι τοὺς Πέρσας ἐλθὼν εἰς χωρίον τῆς Περσίδος, ἀντὶ τοῦ ἐλθόντα. καὶ Ὅμηρος,

Φημὶ —— οὖν κατανεῦσαι ὑπερμενέα Κρονίωνα,
Ἀστράπτων ἐπὶ δεξιᾷ,

ἀντὶ τοῦ ἀστράπτοντα.

ΠΕΡΙ ΒΑΡΒΑΡΙΣΜΟΥ

Βαρβαρισμός ἐστι λέξις ἤτοι περὶ τὰ στοιχεῖα, ἢ περὶ τὰς προσῳδίας ἡμαρτημένη. Διαφέρει δὲ τοῦ Σολοικισμοῦ· ἐπεὶ ὁ μὲν Βαρβαρισμὸς ἐν λέξει γίνεται, ὁ δὲ Σολοικισμὸς ἐν λόγῳ. Γίνεται δὲ ὁ Βαρβαρισμὸς ἐν τῇ λέξει, περὶ πλεονασμὸν στοιχείου, περὶ ἔνδειαν, περὶ ἐναλλαγὴν, περὶ τόνον, περὶ χρόνον, περὶ πνεῦμα. Λέγομεν δὲ Βαρβαρίζειν καὶ τοὺς ἀλλοφύλῳ λέξει χρωμένους· ὡς εἴ τις τὸ μὲν ὑπαυχένιον Κερβικάριον λέγοι, τὸ δὲ χειρόμακτρον, Μάππαν.

ΠΕΡΙ ΣΟΛΟΙΚΙΣΜΟΥ.

Σολοικισμός ἐστι λόγος περὶ τὴν σύνταξιν τῶν λέξεων ἡμαρτημένος. Διαφέρει δὲ Σχήματος. ἐπεὶ τὸ μὲν Σχῆμα ἔχει τινὰ αἰτίαν εὔλογον καθισταμένην εἰς εὐπρέπειαν, ὁ δὲ Σολοικισμὸς οὐκ ἔχει. Γίνεται δὲ ὁ Σολοικισμὸς ἐν τῷ λόγῳ, περὶ πλεονασμὸν λέξεως, περὶ ἔνδειαν, περὶ ἐναλλαγὴν, περὶ εἶδος, περὶ γένος, περὶ ἄρθρον, περὶ ἀριθμὸν, περὶ πτῶσιν, περὶ πρόσωπον, περὶ χρόνον, περὶ διάθεσιν, περὶ ἔγκλισιν. Λέγεται δὲ Σολοικισμὸς, ἐπεὶ σόλοικον καὶ βάρβαρον τὴν προφορὰν ἔχει. Σολοίκους δὲ ἔλεγον οἱ παλαιοὶ τοὺς βαρβάρους. ὁ γὰρ Ἀνακρέων φησὶ, Κοίμισον δὲ σόλοικον φθόγγον. καὶ Ἱππῶναξ,

Καὶ τοὺς σολοίκους ἢν λάβωσι, περνᾶσι
Φρύγας μὲν εἰς Μίλητον ἀλφιτεύσοντας.

ΕΤΕΡΩΣ

ΠΕΡΙ ΒΑΡΒΑΡΙΣΜΟΥ

ΚΑΤΑ ΠΛΑΤΟΣ.

Τοῦ λόγου ἀρεταὶ μέν εἰσιν ἕξ. Ἑλληνισμὸς, Σαφήνεια, Κυριολογία, Συντομία, Εὐσυνθεσία, Εὐπρέπεια. Κακίαι δὲ ταύταις ἀντικείμεναι ὁμοίως ἕξ. Βαρβαρισμὸς, Ἀσάφεια, Ἀκυρολογία, Μακρολογία, Κακοσυνθεσία, Ἀπρέπεια.

Ἑλληνισμὸς μὲν οὖν ἐστι λέξις ὑγιὴς, καὶ ἀδιάστροφος λόγου μερῶν συμπλοκὴ μετάλληλος· Βαρβαρισμὸς δέ ἐστι λέξις ἡμαρτημένη παρὰ τὴν τῶν Ἑλληνιζόντων συνήθειαν.

Διαφέρει δὲ Βαρβαρισμὸς Σολοικίας· ὅτι ἡ μὲν Σολοικία τὴν τάξιν βλάπτει τοῦ λόγου, ὁ δὲ Βαρβαρισμὸς τὰ ἔπη τῆς λέξεως.

Γίνεται δὲ Βαρβαρισμὸς κατὰ τρόπους ἐννέα. προσθέσει, ἀφαιρέσει, ἐναλλαγῇ, μεταθέσει, συναλοιφῇ, διαιρέσει, τόνῳ, χρόνῳ, πνεύματι.

Κατὰ μὲν οὖν Πρόσθεσιν βαρβαρίζουσιν οἱ λέγοντες Σωκράτην, Δημοσθένην. τὰ γὰρ εἰς ης λήγοντα σύνθετα οὐ προσλαμβάνει ἐπὶ τῆς αἰτιατικῆς τὸ ν, ὅταν ἢ παρ' οὐδετέρων πρὸς τὴν κατάληξιν, ἢ ῥῆμα ἐπὶ τέλει ἐμφαίνηται.

Κατὰ δὲ Ἀφαίρεσιν· ὡς εἴ τις λέγει τὸν Ἑρμῆ, δεῖ γὰρ λέγειν τὸν Ἑρμῆν.

Κατὰ δὲ Πρόσθεσιν λέγοντες τὸν δίφρον, δρίφον· καὶ τὸ φέρω, φέρνω· καὶ Μυτιληναῖον, Μιτυληναῖον· ἀπὸ γὰρ τοῦ Μύτωνος τοῦ κτίστου Μυτιλήνη καλεῖται.

Κατὰ δὲ Ἐναλλαγὴν, ὅσοι λέγουσιν ἀντὶ τοῦ ἐδυνάμην, ἠδυνάμην· καὶ ἀντὶ τοῦ ἐβουλόμην, ἠβουλόμην. ὅσα γὰρ ἀπὸ συμφώνου ἄρχεται τῶν ῥημάτων ἐν τῷ ἐνεστῶτι χρόνῳ, ταῦτα κατὰ τὸν παρατατικὸν ἀπὸ τοῦ ε ἄρχεται. λέγω, ἔλεγον· φέρω, ἔφερον· οὕτω μέλλω, ἔμελλον· βούλομαι, ἐβουλόμην· καὶ δύναμαι, ἐδυνάμην.

Κατὰ δὲ Συναλοιφὴν, ὡς Μένανδρος λέγει,

Ὁ θάτερος μὲν τοῖν δυοῖν Διοσκόροιν.

ἀντὶ τοῦ φάναι, ὁ ἕτερος· ἡ γὰρ τοιαύτη συναλοιφὴ γίνεται ἐπὶ οὐδετέρου ἄρθρου, ὅταν αὐτῷ ἐπιφέρηται ὄνομα ἀπὸ φωνήεντος ἀρχόμενον, οἷον τὸ, ἕτερον, λέγω θάτερον. ἐπὶ ἀρσενικοῦ δὲ οὐδαμῶς.

Κατὰ δὲ Διαίρεσιν, ὡς ὅταν Ἡσίοδος λέγῃ,

Μάγνης δ' αὖ Δίκτην τε καὶ ἀντίθεον Πολυδεύκεα.

οὐ γὰρ διαιρεῖται, ὧν ἡ αἰτιατικὴ εἰς ν λήγει· αἱ γὰρ εἰς α λήγουσαι αἰτιατικαὶ διαιροῦνται, Δημοσθένεα, Δημοσθένη γὰρ καὶ Διογένη.

Κατὰ δὲ Τόνον βαρβαρίζουσιν οἱ λέγοντες, ἐὰν βουλῶμαι, καὶ ἐὰν ἀρχῶμαι, δεῖ γὰρ λέγειν, ἐὰν βούλωμαι, καὶ ἐὰν ἄρχωμαι· ἐπειδὴ τὰ ὑποτακτικὰ τοῖς ἰδίοις ὁριστικοῖς ὁμοτονεῖ, φέρομαι, ἐὰν φέρωμαι· λέγομαι, ἐὰν λέγωμαι· οὕτω καὶ ἐὰν βούλωμαι, καὶ ἐὰν ἄρχωμαι. Ὁμοίως καὶ περὶ τοὺς τόνους βαρβαρίζουσιν, οἱ λέγοντες ἀκρᾶτον προπερισπωμένως· δεῖ γὰρ λέγειν ἄκρατον προπαροξυτόνως· ἡ γὰρ τοῦ α στέρησις προτιθεμένη τῶν δισυλλάβων ὀνομάτων εἰς ος ληγόντων, ἀναβιβάζει τὸν τόνον· οἷον κακὸς, ἄκακος· φθαρτὸς, ἄφθαρτος· οὐκοῦν καὶ κρατὸς, ἄκρατος.

Κατὰ δὲ Χρόνους βαρβαρίζουσιν, οἱ λέγοντες πινακῖς, ἐκτεταμένως· δεῖ γὰρ λέγειν πινακὶς συνεσταλμένως, ὡς θυρὶς, σανίς.

Κατὰ δὲ Πνεῦμα βαρβαρίζουσιν οἱ λέγοντες αὔριον δασέως. δεῖ γὰρ αὔριον, ψιλῶς· ἐπείπερ εἴρηται παρὰ τὴν αὔραν, ἥτις ἐκ τῶν ποταμῶν ἕωθεν ἀναδίδοσθαι φιλεῖ,

Αὔρη δ' ἐκ ποταμοῦ ψυχρὴ πνέει ἠῶθι πρό.

ἄλλως τε καὶ διὰ ψιλοῦ τοῦ στοιχείου συναλείφεται,

Μηδ' ἀναβάλλεσθαι ἔς τ' αὔριον, ἔς τ' ἔννηφι.

εἰ γὰρ ἦν δασὺ, πάντως ἂν διὰ τοῦ θ ὤφειλεν εἶναι ἡ συναλοιφή.

Ἀκυρολογία δὲ, ἥτις περὶ τὸ σημαινόμενον ἁμαρτάνεται· τῆς δὲ κακίας μέρος ἐστὶ καὶ ἡ ἀκυρολογία. ὡς παρὰ τῷ Καλλιμάχῳ ἐπὶ τῶν ἀπολομένων νηπίων,

Μητέρας ἐξεκένωσαν, ἐκούφισαν δὲ τιθήνας.

Τοὐναντίον γὰρ, ἐβάρυναν ἀπολέσαντες τὰ ὑπ' αὐτῶν τρεφόμενα βρέφη. καὶ παρ' Αἰσχύλῳ,

Ὁρῶμεν ἀνθοῦν πέλαγος Αἰγαῖον νεκροῖς.

ΠΕΡΙ

ΣΟΛΟΙΚΙΑΣ

ΚΑΤΑ ΠΛΑΤΟΣ.

Σολοικία ἐστὶν ἀκατάλληλος πλοκὴ τῶν τοῦ λόγου μερῶν παρὰ τὴν τῶν Ἑλληνιζόντων συνήθειαν.

Σολοικίζουσι δὲ κατὰ τρόπους ιε· περὶ γένη, περὶ ἀριθμοὺς, περὶ τὰς πτώσεις, περὶ τὰ εἴδη, περὶ τὰ γενικὰ καὶ εἰδικὰ, περὶ τὰ πάθη, περὶ τὰ ἐνεργήματα, περὶ τοὺς χρόνους, περὶ τὰ πρόσωπα, περὶ τὰς ἐγκλίσεις τῶν ῥημάτων, περὶ τὰ ἄρθρα, περὶ τὰς ἀντωνυμίας, περὶ τὰς προθέσεις, περὶ τὰ ἐπιῤῥήματα, περὶ τοὺς συνδέσμους.

Περὶ μὲν οὖν Γένη· ὡς παρ' Ὁμήρῳ,

Δῶρόν τοι καὶ ἐγὼ τέκνον φίλε τοῦτο δίδωμι.

ἀντὶ τοῦ, τέκνον φίλον.

Περὶ δὲ τοὺς Ἀριθμούς· ὡς παρ' Ἡσιόδῳ,

Τῆς δ' ἦν τρεῖς κεφαλαί.

ἀντὶ τοῦ, ἦσαν.

Περὶ δὲ τὰς Πτώσεις·

Ζεῦ κύδιστε, μέγιστε, κελαινεφὲς, αἰθέρι ναίων,
Ἠέλιος, ὃς πάντ' ἐφορᾷς καὶ πάντ' ἐπακούεις.

ἀντὶ τοῦ, ὦ ἥλιε.

Περὶ τὰ Εἴδη· ὡς εἴ τις ἁπλοῦν ἀντὶ συγκριτικοῦ τάξειεν, οἷον, δῖα θεάων. ἀντὶ τοῦ διοτάτη. καὶ γυναικῶν θηλυτεράων, ἀντὶ τοῦ θηλειῶν. καὶ, δικαιότατος κενταύρων, ἀντὶ τοῦ δίκαιος.

Περὶ δὲ Γενικὰ καὶ Εἰδικά· ὡς παρ' Ὁμήρῳ,

πατὴρ ἀνδρῶν τε θεῶν τε.

εἶδος μὲν γὰρ ἄνδρες, γένος δὲ, ἄνθρωποι.

Περὶ δὲ τὰ Πάθη· ὡς εἴ τις λέγοι, οἰκοδομοῦμαι πύργον, ἀντὶ τοῦ οἰκοδομῶ.

Περὶ δὲ Ἐνεργήματα· ὡς παρ' Ὁμήρῳ,

Ναιετάουσι πόληες·

ἀντὶ τοῦ ναιετάονται. καὶ,

ῥέε δ' αἵματι γαῖα.

ἀντὶ τοῦ ἐῤῥεῖτο.

Περὶ δὲ τὰ Πρόσωπα· ὡς παρ' Ὁμήρῳ,

Ἄλλοι μὲν γὰρ πάντες ὅσοι θεοί εἰσ' ἐν Ὀλύμπῳ,
Σοί τ' ἐπιπείθονται, καὶ δεδμήμεθα ἕκαστος.

ἀντὶ τοῦ δέδμηνται.

Περὶ δὲ Χρόνους· ὡς παρ' Εὐριπίδῃ,

Θύρσον δέ τις λαβοῦσ' ἔπαισεν εἰς πέδον,
Ὅθεν δροσώδης ὕδατος ἐκπηδᾷ νοτίς.

ἀντὶ τοῦ ἐπήδησεν.

Περὶ δὲ τὰς Ἐγκλίσεις τῶν ῥημάτων· ὡς εἴ τις ἐναλλάττει εὐκτικὰ ὁριστικοῖς, ἢ προστακτικὰ ἀπαρεμφάτοις, ἢ ἄλλο τι τῶν τοιούτων, ὡς παρ' Ὁμήρῳ,

Αἶψα μάλ' ἐς στρατὸν ἐλθὲ μετὰ Τρῶας καὶ Ἀχαιοὺς,
Πειρᾶν δ' ὥς κεν —— ὑπερκύδαντας Ἀχαιούς.

ἀντὶ τοῦ πείραζε. ὡς καὶ προείρηκεν ἐλθέ. καὶ,

Πληθὺν δ' οὐκ ἂν ἐγὼ μυθήσομαι, οὐδ' ὀνομήνω.

ἀντὶ τοῦ οὐ μυθησαίμην.

Περὶ δὲ τὰ Ἄρθρα· ὡς εἴ τις ὑποτακτικοῖς χρήσαιτο ἀντὶ προτακτικῶν. οἷον,

Μῦθος δ' ὃς μὲν νῦν ὑγιὴς εἰρημένος ἔστω.

ἀντὶ τοῦ, ὁ μέν· καὶ ἔμπαλιν προτακτικοῖς ἐχρήσατο ἀντὶ ὑποτακτικῶν,

Ἠπείλησεν μῦθον, ὁ δὴ τετελεσμένος ἐστίν.

ἀντὶ τοῦ, ὃς δή. καὶ,

ὅ μιν πρόφρων ὑπέδεκτο,

ἀντὶ τοῦ, ὅς μιν.

Περὶ δὲ τὰς Ἀντωνυμίας· ὡς εἴ τις ἀσύναρθρον ἀντὶ συνάρθρου παραλαμβάνοι. ὡς παρ' Ὁμήρῳ Ζηνόδοτος παραγράφει λέγων, πρὸς εἱς ἀντὶ τοῦ σοι σύναρθρος. ἢ εἴ τις, ἐπὶ μὲν τοῦ πρώτου προσώπου λέγοντος ὑμεῖς, ἐπὶ δὲ δευτέρου προσώπου τάξειεν ἀντωνυμίαν τὴν ἁρμόζουσαν τρίτῳ προσώπῳ. ὡς παρ' Ἡσιόδῳ,

Δεῦτε Δί' ἐννέπετε σφέτερον πατέρ' ὑμνείουσαι.

ἀντὶ τοῦ, ὑμέτερον.

Περὶ δὲ τὰς Προθέσεις·

Εἰς ἐλάτην ἀναβὰς,

ἀντὶ τοῦ, ἐλάτην. καὶ

Κάππεσον ἐν Λήμνῳ·

ἀντὶ τοῦ, εἰς Λῆμνον.

Περὶ δὲ Ἐπιῤῥήματα·

καὶ εἴσω δόρπον ἕλοντο,

ἀντὶ τοῦ ἔνδον. καὶ παρ' Εὐριπίδῃ,

Πολλὴ μὲν ἐν βροτοῖσι κοὐκ ἀνώνυμος
Θεὰ κέκλημαι Κύπρις, οὐρανοῦ τ' ἔσω.

ἀντὶ τοῦ ἔνδον. καὶ,

Πωλεῖταί τις δεῦρο γέρων.

ἀντὶ τοῦ, ἐνθάδε. καὶ,

Ναὶ μὰ τόδε σκῆπτρον.

ἀντὶ τοῦ, νὴ τοῦτο. καὶ ὅταν τις ἀπαγορευτικῷ χρήσηται ἀντὶ ἀρνητικοῦ. οἷον,

Μὴ δι' ἐμὴν ἰότητα Ποσειδάων ἐνοσίχθων,

ἀντὶ τοῦ, οὐ δι' ἐμήν.

Περὶ δὲ τοὺς Συνδέσμους· ὅταν τις τῷ μὲν μὴ ἐπενέγκῃ τὸν δὲ, ἢ ἕτερον ἰσοδυναμοῦντα. ἢ τῷ ἤτοι διαζευκτικῷ μὴ ἐπενέγκῃ τὸν ἤ. ἢ εἴ τις χρήσαιτο τῷ μὲν ἢ προτακτικῷ, τῷ δὲ ἤτοι ὑποτακτικῷ λέγων, ἢ τόδε, ἤτοι τόδε· τοὐναντίον γὰρ χρὴ ποιεῖν, προτάσσειν μὲν τὸν ἤτοι, ὑποτάσσειν δὲ τὸν ἤ, λέγοντας, ἤτοι τόδε, ἢ τόδε.

Σολοικίζουσι δὲ καὶ περὶ τὸ μικτὸν καλούμενον· ἐπειδὰν δύο ἢ πλείονα εἴδη τῶν εἰρημένων ἐμπεριέχηται. ὡς ἐν τῷ, ἕνα λίθον πενθ' ὑπῆσαν σκόρπιοι. Σολοικίζει δὲ καὶ, ὁ τὸ παιδίον δεικνὺς, καὶ λέγων οὗτος.

Σολοικία δὲ καὶ Βαρβαρισμὸς τούτῳ διενηνόχασιν ἀλλήλων, ὅτι ἡ μὲν Σολοικία περὶ πλείονας γίνεται λέξεις ἀκαταλλήλως πλεκομένας, καὶ τὸ σημαινόμενον ἐναλλάσσει. οἷον, Ναιετάουσι πόλιν, ἀντὶ τοῦ ναιετάονται· ὁ δὲ Βαρβαρισμὸς περὶ μίαν γίνεται λέξιν, καὶ μόνης τῆς φωνῆς ἐστιν ἁμάρτημα. ὁ γὰρ λέγων περισπωμένως εὐγενῆς, τὸ μὲν σημαινόμενον φυλάττει, πταίει δὲ κατὰ τὴν προφορὰν, περισπωμένῃ χρώμενος ἀντὶ ὀξείας.

Ὠνόμασται δὲ ὁ μὲν Βαρβαρισμὸς κατὰ ἐναντιότητα τοῦ Ἑλληνισμοῦ, ἐπειδήπερ ἡ κατορθωμένη λέξις Ἑλληνισμὸς καλεῖται, καὶ ὅτι πᾶν τὸ ἐκ τῆς συνηθισμένης λέξεως μετεσπασμένον, Βάρβαρον λέγεται. Σολοικισμὸς δὲ, ὅτι τοῦ σόου λόγου αἰκία· αἰκίζεται γὰρ τὴν ἀκολουθίαν τοῦ λόγου· ἢ ὅτι οἱ παλαιοὶ Σολοίκους ἐκάλουν τοὺς βαρβάρους. καθὰ φησὶν Ἱππώναξ,

Καὶ τοὺς σολοίκους, ἢν λάβωσι, περνᾶσιν.

Ὥστε τῷ γένει Σολοικίαν εἶναι τὸν βαρβαρισμόν.

ΛΕΞΙΚΟΝ
ΠΕΡΙ
ΠΝΕΥΜΑΤΩΝ.
ΕΚΛΕΓΕΝ
ΕΚ ΤΩΝ ΠΕΡΙ ΠΝΕΥΜΑΤΩΝ
ΤΡΥΦΩΝΟΣ. ΧΟΙΡΟΒΟΣΚΟΥ. ΘΕΟΔΩΡΙΤΟΥ.
ΚΑΙ ΕΤΕΡΩΝ.
Καὶ ἀντιγράφοις διαφόροις ἀντιβληθὲν καὶ ὀρθωθέν.

Τὸ Α πρὸ ἑαυτοῦ ψιλοῦται ἀεί, οἷον, ἀαρών. Ἄαπτος, ὁ ἀπροσπέλαστος, καὶ οὗ μὴ δύναταί τις ἅψασθαι.

Τὸ Α πρὸ τοῦ Β, εἰ μὴ ἐπάγοιτο τῷ Β τὸ Ρ ψιλοῦται. οἷον, ἀβειρών. ἀβιμέλαχ. ἄβαρις. ἄβυδος. καὶ τὰ λοιπά. τὸ μέντοι ἀβραάμ. καὶ ἀβραάμιος. καὶ ἁβρός. ἁβρότης. ἁβρότονον. ἃ πάντα ἀπὸ τοῦ ἁβρὸς γίνεται, καὶ ὅσα ἐκ τούτου, δασύνονται, ὅτι ἐπάγεται τῷ Β τὸ Ρ. σεσημείωται ἐν τούτοις τὸ Ἀβρότη νὺξ, ἐν ᾗ βροτὸς οὐ πορεύεται. καὶ Ἀβροτάζω, τὸ ἁμαρτάνω, κυρίως δὲ, τὸ βροτοῦ ἀποτυγχάνω· τοῦ Α κατὰ στέρησιν ἐπὶ τούτων λαμβανομένου. καὶ Ἄβρομοι, οἱ πολύηχοι, τοῦ Α κατ' ἐπίτασιν λαμβανομένου, ἢ κατὰ στέρησιν, ἤγουν οἱ βρόμον μὴ ἔχοντες.

Τὸ Α πρὸ τοῦ Γ ψιλοῦται. ἄγαν. ἀγείρω. ἀγορά. Ἄγνος, τὸ φυτόν. τὸ μέντοι Ἁγνὸς, ὁ καθαρός. καὶ ἅγιος. καὶ ἁγιάζω. καὶ ἁγιωσύνη. καὶ ἁγνίζω. καὶ ἁγνισμός. καὶ ὅσα ἐκ τοῦ Ἅζω, ῥήματος, ὃ δηλοῖ τὸ σέβομαι, τὴν δασεῖαν φυλάττουσιν.

Τὸ Α πρὸ τοῦ Δ ψιλοῦται. ἀδάμ. ἄδωνις. ἀδελφός. Ἀδριὰς, κόλπος θαλάσσης. πλὴν τοῦ ᾅδης. ἁδρύνω. ἁδρότης. τὸ μέντοι Ἀδριὰς παρ' Ὁμήρῳ δασύνεσθαι φησὶν Ἡρωδιανὸς, ἐν δὲ τῷ Καθόλου ψιλοῦσθαι.

Τὸ Α πρὸ τοῦ Ε ψιλοῦται. οἷον, ἀεί. ἀετός. Ἄελλα, ἡ συστροφὴ τοῦ ἀνέμου. Ἀερόπη, κυρίως. ἀέναον. ἀέριον.

Τὸ Α πρὸ τοῦ Ζ ψιλοῦται. Ἄζω, τὸ ξηραίνω. ἐξ οὗ καὶ Ἀζαλέος, ὁ κατάξηρος. καὶ Ἀζαρίας, κύριον. Ἄζωτος, πόλις. πλὴν τοῦ Ἅζω, τὸ σέβομαι, καὶ θαυμάζω. ἅζομαι. ἁζόμενος.

Τὸ Α πρὸ τοῦ Η ψιλοῦται. οἷον, Ἀήτης, ἄνεμος. ἀηδών. καὶ τὰ ὅμοια.

Τὸ Α πρὸ τοῦ Θ ψιλοῦται. οἷον, Ἄθως, ὄνομα ὄρους, οὗ ἡ γενικὴ, ἄθω· ὡς ὁ κάλως, τοῦ κάλω· καὶ ὁ ἄπρως, τοῦ ἄπρω· καὶ ὁ ταὼς, τοῦ ταώ. Ἀθῷος, ὁ ἀζήμιος. ἀθηνᾶ. ἀθροίζω. ἀθηρηλοιγός. καὶ τὰ λοιπά.

Τὸ Α πρὸ τοῦ Ϊ ψιλοῦται οἷον, Ἀΐδης, ὁ ᾅδης. Ἀΐσσω, τὸ ὁρμῶ. Ἀΐω, τὸ ἀκούω. Ἀϊστῶσαι, τὸ ἀφανίσαι. καὶ τὰ λοιπά.

Τὸ Α πρὸ τοῦ Κ ψιλοῦται. ἀκοή. ἄκμων. ἀκόνη. Ἀκαλήφη, εἶδος βοτάνης, ἡ λεγομένη κνίδη. Ἀκωκὴ, ἡ κεφαλὴ τοῦ βέλους, καὶ τὰ λοιπά.

Τὸ Α πρὸ τοῦ Λ, ἢ ἑνὸς ἢ δισσοῦ, ψιλοῦται. οἷον Ἀλῶ, τὸ πλανῶ. Ἄλη, ἡ πλάνη. Ἀλήτης, ὁ πλανήτης. Ἀλίτης, ὁ ἁμαρτωλός. καὶ ἀλιτρός. Ἄλυδις, ἀντὶ τοῦ ὁμοῦ. Ἀλδήσκω, τὸ αὐξάνω. ἄλλος. καὶ ὅσα ἐξ αὐτοῦ. ἀλλοῖος. ἀλλοδαπός. ἀλλότριος. ἀλλόκοτος. ἀλλᾶς, ἀλλᾶντος. πλὴν τοῦ Ἅλς, ὃ θηλυκῶς μὲν λεγόμενον σημαίνει τὴν θάλασσαν, ἀρσενικῶς δὲ, τὸ ἅλας. καὶ τῶν ἐξ αὐτοῦ, Ἁλίτης, ὁ θαλάσσιος. Ἅλιος, ὁ μάταιος, καὶ ὁ θαλάσσιος. ἁλουργίς. ἅλμη. ἁλιεύς. Ἁλικαρνασὸς, πόλις. καὶ ἁλίασος. ἁλίαρτος. Ἁλιζῶνες, ἔθνος, ἀπὸ τοῦ ὑπὸ τῆς ἁλὸς περιζωννύεσθαι. Ἁλυκὸν, τὸ ἁλμυρόν. Ἁλίζω, τὸ ἅλατι πάσσω. σὺν τούτοις καὶ τὰ ἄθροισμα σημαίνοντα. Ἅλις, ἀντὶ τοῦ δαψιλῶς, καὶ αὐτάρκως, Ἁλίζω, τὸ συναθροίζω. καὶ Ἅλως, τὸ ἁλώνιον. σὺν τούτοις καὶ Ἁλῶ, τὸ κρατῶ. ἅλωσις. ἁλωτός. ἁλίσκω. ἅλυσις. σὺν αὐτοῖς καὶ τὸ Ἅλλομαι, διὰ δύο λλ. ὃ σημαίνει τὸ πηδῶ, καὶ ἁλλόμενος. καὶ Ἅλμα, τὸ πήδημα. Ἄλμα δὲ, τὸ ἄλσος, ψιλοῦται, ὡς καὶ ὁ Λυκόφρων,

Ἵν' ἄλμαθ' ἵππου καὶ χαμευνάδος μόροι.

καὶ τὰ ὅμοια. τὸ μέντοι Ἄλτο, ἀντὶ τοῦ ἐπήδησεν. ὡς καὶ Ὅμηρος,

ἆλτο χαμᾶζε

ψιλοῦται. τὸ Ἀλετρίβανον, εἰ μὲν παρὰ τὸ τοὺς ἅλας τρίβειν ἐτυμολογεῖται, δασύνεται· εἰ δὲ παρὰ τὸ Ἀλεῖν, ἤγουν ἀλήθειν καὶ τρίβειν, ψιλοῦται. λέγεται δὲ καὶ ἀλότριψ. Ἀλκυὼν, ἐκ τοῦ ἐν ἁλὶ κύειν ἐτυμολογεῖται, ὅμως ψιλοῦται, διὰ τὸ ἐπάγεσθαι τὸ Κ. Ἀλέα, ἡ θερμασία, δασύνεται παρὰ τοῖς Ἀττικοῖς, ἐν δὲ τῷ Καθόλου ψιλοῦται· σὺ δὲ ψίλου κατὰ συνήθειαν. Ἄλυς, ποταμὸς, ὅθεν καὶ ἀλύτη ψιλοῦται. ὡς καὶ Ἀλύτης, πολλὴν γὰρ χώραν περιτρέχει· τινὲς δὲ δασύνουσιν, ἁλυκὸν ὕδωρ λέγοντες ἔχειν αὐτόν. Ἄλυς δὲ, ἡ ἀδημονία, παρὰ πᾶσι ψιλοῦται.

Ἄλλως. Τὸ Α πρὸ τοῦ Λ, ἐπαγομένου συμφώνου τῆς πρώτης συζυγίας τῶν βαρυτόνων, ἢ τῆς δευτέρας, ἢ τῆς τρίτης, ψιλοῦται. οἷον, Ἄλπεις, ὄνομα ὄρους ἐν Ἰταλίᾳ. Ἀλφειὸς, ποταμὸς ἐν Ἀρκαδίᾳ. ἀλγηδών. Ἀλκὴ, ἡ δύναμις. Ἀλδήσκω, τὸ αὐξάνω. Ἀλθαία, εἶδος βοτάνης. καὶ Ἀλθαίνω, τὸ θεραπεύω. ὅθεν τὸ Ἀλκυὼν, ὄνομα ὀρνέου τινὸς ἐν τῇ θαλάσσῃ τίκτοντος, εἰ καὶ παρὰ τὸ ἐν τῇ ἁλὶ κύειν ἐτυμολογεῖται, ἀλλ' ὅμως ψιλοῦται, διότι ἐπάγεται τὸ Κ. ὡσαύτως καὶ τὸ ἆλτο. καὶ τοῦτο δείκνυσιν ἡ συναλοιφή. Φησὶ γὰρ Ὅμηρος ἐν τῇ Φῖ ῥαψῳδίᾳ τῆς Ἰλιάδος,

Ἀστεροπαίῳ ἐπᾶλτο κατακτάμεναι μενεαίνων.

Τὸ Α πρὸ τοῦ Μ, ἢ ἑνὸς ἢ δισσοῦ, ψιλοῦται. οἷον ἀμνός. Ἀμύνω, τὸ βοηθῶ. καὶ Ἀμύνομαι, τὸ τιμωρῶ. ἀμείβω. Ἀμῶ, τὸ θερίζω. Ἄμη, ἡ δρεπάνη. τινὲς δὲ δασύνουσι τὴν ἄμην, ἐτυμολογοῦντες ἀπὸ τοῦ ἅμα πολλοὺς τέμνειν στάχυας. Ἀμάλη, ἡ ἀγκάλη. ἀμαθύνω. Ἄμης, πλακοῦς. ἄμμος. ἄμαθος. Ἄμμυδις, Αἰολικῶς, ἀντὶ τοῦ ὁμοῦ. καὶ τὰ ἔχοντα τὸ Α στερητικόν. ἄμορφος. ἀμείλικτος. πλὴν τοῦ ἅμα, καὶ τῶν ἐξ αὐτοῦ. οἷον Ἁμαρτῆ, ἀντὶ τοῦ ὁμοῦ. ἅμιλλα. ἁμιλλῶμαι. ἅμαξα. σὺν τούτοις, ἁματροχιά. ἁμαρτάνω. ἁμαρτία. ἁμαρτωλός. Ἅμμα, ὁ δεσμός. (γρ. τὸ σχοινίον) παρὰ τὸ ἅπτομαι. Ἀμὶς, τὸ οὐροδόχον ἀγγεῖον. Ἀμνίον, τὸ εἰς ὑποδοχὴν αἵματος ἐπιτήδειον ἀγγεῖον. καὶ Ὅμηρος,

Περσεὺς δ' ἀμνίον εἶχε.

γίνεται δὲ ἀπὸ τοῦ αἷμα αἱμνίον, καὶ ἀμνίον κατὰ ἀποβολὴν τοῦ ι. Ἀμυδὶς, τὸ ὁμοῦ. ἀμωσγέπως. καὶ ἀμωσγέπη. τοῦτο δὲ παρὰ ἑτέροις ψιλοῦται, οἳ ἀπὸ τοῦ Ἀμὸς, ὃ σημαίνει τὸν ἡμέτερον, ἐτυμολογοῦσιν εἶναι. τὸ Ἄμμος παρὰ πᾶσι τοῖς Τεχνολόγοις δασυνόμενον εὗρον καὶ δι' ἑνὸς μ. εἰ μέντοι συνήθεια τοῦτο ψιλοῖ, καὶ διὰ δύο μμ γράφει. τὸ Ἅμαξα δασύνεται, ὡς εἴπομεν, ἐκ τοῦ ἅμα ἄγεσθαι ὑπὸ δύο βοῶν· τινὲς δὲ ψιλοῦσιν αὐτὸ, ἐτυμολογοῦντες ἐκ τοῦ τὸν ἄμητον ἄγειν. ὅθεν καὶ Κατημαξευμένας ὁδοὺς καὶ λέξεις λέγομεν, τὰς συνήθεις καὶ κατατετριμμένας. καὶ Ἀμαξιτὸς, ἡ ὁδός. δηλοῖ δὲ καὶ Ὅμηρος εἰπὼν,

Τεῖχεος αἰὲν ὑπ' ἐκ κατ' ἀμαξιτὸν ἐσσεύοντο.

Τὸ Α λῆγον εἰς Μ, ἐπιφερομένου συμφώνου, ψιλοῦται ἀεί. ἄμφω. ἀμφίς. ἄμπυξ. ἄμπελος. καὶ τὰ ὅμοια.

Τὸ Α πρὸ τοῦ Ν ψιλοῦται. ἀνία. ἄνεμος. ἀνεμώλιον. Ἀνύω, ὃ καὶ Ἀνύτω Ἀττικῶς γράφεται. καὶ τὰ λοιπά. πλὴν τοῦ Ἁνδάνω, τὸ ἀρέσκω. ἐκ γὰρ τοῦ Ἥδω, τὸ εὐφραίνω, γινόμενον τὴν δασεῖαν ἐφύλαξε τοῦ γεννήσαντος.

Τὸ Α πρὸ τοῦ Ξ ψιλοῦται ἀεί. ἄξων. ἀξίνη. ἀξία. Ἄξυλος ὕλη, ἡ πολύξυλος. καὶ Ἄξυλος, κύριον ὄνομα.

Τὸ Α πρὸ τοῦ Ο ψιλοῦται. οἷον Ἄορ, τὸ ξίφος, Ἀολλέες, οἱ συνηθροισμένοι. Ἀοσσητὴρ, ὁ βοηθός. καὶ τὰ λοιπά.

Τὸ Α πρὸ τοῦ Π ψιλοῦται. ἀπηνής. ἀπόλλων. Ἀπολλῶτος, ὄνομα ἀποστόλου. ἀπάνθρωπος. ἀπώλεια. ἀπὸ, πρόθεσις· καὶ τὰ ἐξ αὐτῆς πάντα. πλὴν τοῦ ἅπας. ἁπλοῦς. ἁπλῶς, ἐπίῤῥημα. ἁπαλός. ἅπαξ. ἁπαξάπαντες. ἅπτομαι. καὶ ἅπαν.

Τὸ Α πρὸ τοῦ Ρ, φωνήεντος ἢ συμφώνου ἐπαγομένου, ψιλοῦται. οἷον ἀρά. ἀραῖος. ἀρέθας. ἄρσην. ἀριπρεπής. ἄρδην. ἀρνός. ἄροτρον. ἄρης. ἀρητός. Ἀρβύλη, καὶ Ἀρβυλὶς, εἶδος ὑποδήματος. ἀργία. Ἄρδω, τὸ ποτίζω. Ἄργος, πόλις. ἀργός. ἄρμενον. ἀρμένιος. καὶ Ἀρμοῖ, ἀντὶ τοῦ νεωστὶ, παρὰ Λυκόφρονι, ὡς τὸ,

Θύσσησιν ἀρμοῖ μηλάτων ἀπάργματα
Θύουσαν.

πλὴν τοῦ ἁρμόζω. ἁρμογή. ἁρμός. ἁρμονία. Ἁρμαλιὰ, ἡ τροφὴ, ὅπερ ἀπὸ τοῦ ἁρμόζω γίνεται. ἅρμα. Ἅρκυς, ἡ παγίς. Ἅρπη, ἡ δρεπάνη. Ἅρπυια, εἶδος ἀνέμου σφοδροῦ. ἁρπάζω. ἅρπαξ, ἁρπαλέος. καὶ τῶν λοιπῶν, τῶν ἐχόντων ἐπαγόμενον τὸ Π.

Τὸ Α πρὸ τοῦ Σ, ἑνὸς ἢ δισσοῦ, ψιλοῦται· φωνήεντος ἢ συμφώνου ἐπαγομένου. ἀσία. Ἄση, ἡ βλάβη. Ἀσάμινθος, ἡ λεκάνη· παρὰ τὸ τὴν Ἄσιν, τουτέστι τὸν ῥύπον, μινύθειν καὶ ἐλαττοῦν. Ἆσσον, ἀντὶ τοῦ ἐγγύς. ἀσσυρία. ἀσκός. ἀσσύριος. ἀσπίς. ἄστυ. καὶ τὰ λοιπά. πλὴν τοῦ Ἅσσα. ἀντὶ τοῦ ἅτινα. Ἄσσα δὲ, ἀντὶ τοῦ τινὰ ἀορίστως, ψιλοῦται.

Τὸ Α πρὸ τοῦ Τ, ἢ ἑνὸς ἢ δισσοῦ, ψιλοῦται. οἷον Ἄτη, ἡ βλάβη. Ἀτεράμων, ὁ σκληρός. Ἀτρεὺς, κύριον. Ἀττέλαβος, ἡ ἀκρίς. ἀττικός. Ἄτερ, ἀντὶ τοῦ χωρίς. Ἀτταγὴν, εἶδος ὄρνιθος καταστίκτου, τὸ λεγόμενον ταγηνάριον. καὶ Ἄττα, ἀντὶ τοῦ τινὰ ἀορίστως. πλὴν τοῦ Ἅττα, ἀντὶ τοῦ ἅτινα. Ἅτε, ἀντὶ τοῦ καθά. καὶ Ἅτερος, ἀντὶ τοῦ ἕτερος. καὶ ἁτέρα, θηλυκόν.

Τὸ Α πρὸ τοῦ Υ ψιλοῦται. Ἀϋτὴ, ἡ βοή. Ἀΰω, τὸ φωνῶ. ἐξ οὗ καὶ τὸ παρ' Ὁμήρῳ,

ἀμφὶ δὲ νῆες
Σμερδαλέον κονάβησαν ἀϋσάντων ὑπ' ἀχαιῶν.

ἀντὶ τοῦ φωνησάντων.

Τὸ Α πρὸ τοῦ Φ, ψιλοῦται. οἷον, ἄφνω. ἀφανής. Ἄφαρ, ἀντὶ τοῦ εὐθέως. πλὴν τοῦ Ἁφὴ, εἴτε τὴν χεῖρα σημαίνει, εἴτε τὴν ἔξαψιν.

Τὸ Α πρὸ τοῦ Χ ψιλοῦται. οἷον Ἄχος, ἡ θλῖψις. Ἄχθος, τὸ βάρος. ἄχυρον. ἀχιλλεύς. ἀχιτόφελ. ἀχαιός. ἀχυρμιά. ἀχαΐα. καὶ τὰ ὅμοια.

Τὸ Α πρὸ τοῦ Ψ ψιλοῦται. οἷον Ἄψ, ἀντὶ τοῦ πάλιν, καὶ εἰς τοὐπίσω. ἐξ οὗ καὶ Ἄψοῤῥος, ὁ ὀπισθόρμητος. Ἄψυρτος. καὶ τὰ λοιπά. πλὴν τῶν παρὰ τὸ ἅπτω, καὶ ἅπτομαι· Ἁψίκορος, ὁ ἅμα τοῦ ἅψασθαι κορεννύμενος, τουτέστιν, ὁ ταχέως χορταζόμενος. ἁψιμαχία. ἁψίς, ἁψῖδος. καὶ Ἅψεα, τὰ μέλη.

Τὸ Α πρὸ τοῦ Ω μέγα ψιλοῦται. οἷον Ἄω, τὸ πνέω. Ἀωτῶ, τὸ ὑπνώττω, καὶ ἀπανθίζω. καὶ Ὅμηρος,

ὕπνον ἀωτεῖς.

καὶ Ἀωρὶ, ἀντὶ τοῦ παρὰ καιρόν.

Καθολικοὶ κανόνες περὶ τοῦ Α.

Τὸ Α, εἴτε στέρησιν δηλοῖ, ὡς τὸ ἄφιλος καὶ ἄοικος· εἴτε ἐπίτασιν, ὡς τὸ Ἄξυλος ὕλη, ἡ πολύξυλος· εἴτε κακὸν, ὡς τὸ Ἄφωνος, ὁ κακόφωνος· εἴτε ὀλίγον, ὡς τὸ Ἀμαθὴς, ὁ ὀλιγομαθής· εἴτε πλεονάζει, ὡς ἐν τῷ, στάχυς ἄσταχυς, σταφὶς ἀσταφὶς, σπαίρω ἀσπαίρω· εἴτε τὸ ὀπίσω σημαίνει, ὡς τὸ Ἀκόλουθος, ὁ ὀπίσω τὴν κέλευθον ποιούμενος· εἴτε τὸ ὁμοῦ, ὡς τὸ Ἄλοχος, ἡ ὁμόκοιτος, καὶ Ἀκοίτης, ὁ ἀνήρ· εἴτε τὸ ἴσον, ὡς τὸ Ἀτάλαντον, τὸ ἰσόσταθμον, ψιλοῦται. Εἰ δὲ ἄθροισιν σημαίνει, δασύνεται. οἷον ἅπας. Ἁλίζω, τὸ συναθροίζω. τὸ μέντοι ἅλυσις, καὶ ᾅδης, κἂν στερητικὸν ἔχωσι τὸ Α, δασύνονται. ἐκ γὰρ τοῦ Α στερητικοῦ μορίου, καὶ τοῦ λύω. καὶ ἐκ τοῦ Α, τοῦ σημαινομένου, τὸ ὁμοῦ, καὶ τοῦ δῶ· πάντας γὰρ δεσμεῖ ὁ ᾅδης.

Τὸ Α ἐν ταῖς προθέσεσι ψιλοῦται. ἀνά. ἀντί. ἀπό. ἐπειδὴ καὶ πᾶσα πρόθεσις ψιλοῦται. ἐκτὸς τῶν ἀπὸ τοῦ Υ ἀρχομένων.

Τὸ Α πρὸ παντὸς φωνήεντος, κατὰ διάστασιν, ψιλοῦται. ἀαρών. ἀηδών. τὸ γὰρ αἷμα, καὶ τὰ τοιαῦτα, μὴ κατὰ διάστασιν ὄντα, δασύνονται.

Τὸ Α ἐν τοῖς ὑποτακτικοῖς ἄρθροις δασύνεται. ἃ, ἃς, αἷς. ὡσαύτως καὶ ἐν τοῖς Δωρικοῖς. ἡμῶν, Ἁμῶν. ἡδὺ, Ἁδύ. Σημειωτέον, ὅτι τὸ Α πρὸ παντὸς φωνήεντος, καὶ πρὸ τῶν δύο δασέων τοῦ Θ Χ, καὶ πρὸ τοῦ Κ Ξ ψιλοῦται ἀεί.

Ε.

Τὸ Ε πρὸ τοῦ Α δασύνεται. οἷον Ἑανὸν, τὸ λεπτὸν ἱμάτιον, ἢ τὸ ποικίλον. Ἑὰ, τὰ ἀγαθά. Ἑάλω, ἀντὶ τοῦ ἐκρατήθη. Ἕαται, ἀντὶ τοῦ κάθηνται, παρ' Ὁμήρῳ, ὡς τὸ,

Οἳ δὴ νῦν ἕαται σιγῇ.

καὶ τὰ λοιπά. πλὴν τοῦ ἔαρ. καὶ τῶν ἐξ αὐτοῦ. ἐαρίζω. Ἐαρινὸς καιρός. Ἐάω, τὸ καταλιμπάνω. καὶ τῶν ἐξ αὐτοῦ. καὶ Ἑαδότα, τὸν ἀρέσκοντα.

Τὸ Ε πρὸ τοῦ Β ψιλοῦται, εἰ μὴ ἐπάγοιτο τῷ Β τὸ Δ ἢ τὸ Ρ. οἷον Ἔβενος, ξύλον. Ἔβερ, κύριον. Ἐβιωναῖος, ὄνομα αἱρετικῶν τινῶν. καὶ τὰ ὅμοια. τὸ μέντοι ἕβδομος. ἑβραῖος. καὶ ὅσα ἐξ αὐτῶν, δασύνονται· ὅτι ἐπάγοιτο τῷ Β τὸ Δ καὶ τὸ Ρ.

Τὸ Ε πρὸ τοῦ Γ ψιλοῦται ἀεί. οἷον ἐγώ. ἐγείρω. ἐγγύς.

Τὸ Ε πρὸ τοῦ Δ ψιλοῦται. οἷον ἔδαφος. Ἔδεσσα, πόλις. Ἐδὸς, ὁ λαίμαργος. Ἔδω, τὸ ἐσθίω. Ἐδητὺς, ἡ εὐωχία. Ἐδωδὴ, ἡ τροφή. καὶ τὰ λοιπά. πλὴν τοῦ Ἕδος, τὸ ἔδαφος. ἕδρα. καὶ τῶν ἐξ αὐτοῦ, ἑδραῖος, ἑδράζω, ἑδραίωμα. σὺν τούτοις Ἕδνον, ἡ προίξ. Ἑδώλιον, ἡ τῶν ἐρεσσόντων καθέδρα. Ἑδανὸν, τὸ ἡδύ. καὶ Ἑδεῖται, ἀντὶ τοῦ καθίσει.

Τὸ Ε πρὸ ἑαυτοῦ ψιλοῦται. οἷον ἐείκοσιν, ἀντὶ τοῦ εἴκοσιν Ἐεισάμενος, ἀντὶ τοῦ ὁμοιωθείς. καὶ Ὅμηρος,

Τῷ μιν ἐεισάμενος προσεφώνεε θεῖος ὄνειρος.

καὶ Ἔεργεν, ἀντὶ τοῦ ἐκώλυσεν. καὶ τὰ λοιπά. πλὴν τοῦ Ἑέρσα, ἡ δρόσος. καὶ Ἕεστο, ἀντὶ τοῦ ἐνεδύετο. καὶ Ἑὲ, ἀντὶ τοῦ ἑαυτὸν, ὡς καὶ Ὅμηρος,

Σκύζεσθαί σοι φησὶ θεοὺς ἑὲ δ' ἔξοχα πάντων.

καὶ Ἐέλδωρ, τὸ ἐπιθύμημα. τοῦτο δὲ ψιλούμενον εὗρον ἐν τοῖς Ἰωάννου.

Τὸ Ε πρὸ τοῦ Ζ ψιλοῦται. οἷον ἐζεκίας. καὶ ὅσα κλιτικὸν ἔχει τὸ Ε, οἷον ἔζη. ἐζηλοτύπει. καὶ τὰ λοιπά. πλὴν τοῦ Ἕζω, τὸ καθέζομαι.

Τὸ Ε πρὸ τοῦ Η δασύνεται. οἷον Ἑὴ, ἡ ἰδία. Ἑῆος, τοῦ ἀγαθοῦ, καὶ προσηνοῦς. ἑήνδανε. καὶ τὰ λοιπά. πλὴν τοῦ Ἔην, τοῦ ὑπῆρχε. καὶ Ἐηνὸς, ὄνομα ποταμοῦ.

Τὸ Ε πρὸ τοῦ Θ ψιλοῦται, οἷον ἔθνος. ἔθος. Ἐθὰς, ὁ συνήθης. Ἔθειρα, ἡ θρίξ. ἐθέλω. καὶ τὰ λοιπά. πλὴν τοῦ Ἕθεν, ἀντωνυμίας, ἀντὶ τοῦ αὐτοῦ. ὡς Ὅμηρος,

Πρόσθεν ἕθεν φεύγοντα.

καὶ πάλιν,

οὐ ἕθεν ἐστὶ χερείων.

καὶ Ἑθεὶς ὁ ἐμβληθεὶς, καὶ ὁ ἀφεθείς. ἐκ τοῦ Ἕω, τὸ ἐμβάλλω, καὶ τὸ ἀπολύω.

Τὸ Ε πρὸ τοῦ Κ δασύνεται. οἷον ἑκατόν. ἕκαστος. ἑκάτερος. Ἕκηλος, ὁ ἥσυχος. ἑκών. ἑκοῦσα. Ἑκατομβαιὼν, ὄνομα μηνός. Ἕκατι, ἀντὶ τοῦ χάριν. Ἑκὰς, τὸ πόῤῥω. καὶ τὰ ἐξ αὐτοῦ, ἑκηβόλος. ἑκάεργος. ἑκατηβελέτης. σὺν τούτοις, ἑκάβη. ἕκτωρ. ἑκάτη. ἕκτη. ἑκταῖον. ἕκτον. καὶ ὅσα ἀπὸ τοῦ ἓξ ἀριθμοῦ. πλὴν τοῦ Ἐκ, προθέσεως, καὶ τῶν ἐξ αὐτῆς συγκειμένων. οἷον ἔκπτωτος. ἔκβλητος. καὶ τῶν ἀπὸ κλίσεως ἐχόντων τὸ Ε, οἷον ἐκάλουν. ἔκρινον. ἐκεκτήμην. καὶ τῶν ἀποβολὴν πασχόντων τοῦ Ε. οἷον ἐκεῖνος. ἐκεῖθεν. ἐκεῖθι. ἐκεῖσε. καὶ γὰρ λέγεται, καὶ κεῖνος, καὶ κεῖθεν, καὶ κεῖθι, καὶ κεῖσε, κατὰ ἀποβολὴν τοῦ Ε. τὸ δὲ Ἑκυρὸς, ὁ πενθερός. καὶ Ἐκεχειρία, ἡ ἄδεια, κατὰ τὰ λελεγμένα κανόνας οὐκ ἔχοντα, ὅμως ψιλοῦνται.

Τὸ Ε πρὸ τοῦ Λ, ἢ ἑνὸς ἢ δισσοῦ, ψιλοῦται, οἷον ἔλαφος. ἔλεος. Ἐλάτη, εἶδος δένδρου. ἐλεύθω. ἐλεγεῖον. Ἐλλεδανὸς, ὁ δεσμός. ἐλάχιστος. Ἐλλόβιον, τὸ ἐνώτιον. Ἐλῶ, τὸ ἐλαύνω. Ἔλλοπες, οἱ ἰχθύες. ἐλισσαῖος. καὶ τὰ λοιπά. πλὴν τοῦ ἕλλην. ἑλλάς. Ἑλλανοδίκαι, οἱ κριταὶ, οἱ εἰς τοὺς ἀγῶνας καθήμενοι. καὶ Ἕλλη, κύριον. ἀφ' ἧς καὶ ἑλλήσποντος. ἑλληνοταμίας. ἑλένη. ἕλενος. Ἑλλὸς, ὁ ἔλαφος. Ἕλω, τὸ λαμβάνω, καὶ τὸ φονεύω. καὶ τὸ ἑλκύω, (ἀφ' οὗ καὶ Ἑλώρια, τὰ σπαράγματα, καὶ ἑλκύσματα τῶν κυνῶν.) καὶ τὸ προκρίνω, ἀφ' οὗ καὶ Ἑλόμενος, ὁ προκρίνας. Ἕλος, ὁ σύμφυτος τόπος, ἑλίκη. ἑλίσσω. ἕλιξ, ἕλικος. ὅθεν καὶ Ἑλίκωπες ἀχαιοὶ, καὶ Ἑλικῶπις κούρη. ἑλιγματώδης. Ἑλικὼν, ὄρος. ἕλκω. ἑλκύω. καὶ ἑλισάβετ.

Τὸ Ε πρὸ τοῦ Λ, ἐπαγομένου τοῦ Κ ἢ τοῦ Μ, δασύνεται. οἷον ἕλκος. ἕλκω. ἑλκύω. Ἕλμινς, ὁ ἐν τῇ γαστρὶ ἐκ σήψεος τικτόμενος σκώληξ. καὶ κλίνεται ἕλμινθος. ὡς τίρυνς, τίρυνθος. εἰ δὲ ἐπάγεται ἕτερον σύμφωνον, ψιλοῦται. οἷον ἐλπίς. ἐλθεῖν. Ἔλδεται, ἀντὶ τοῦ ἐπιθυμεῖ. καὶ Ὅμηρος,

Καδδὲ κτήματα πολλὰ, τά τ' ἔλδεται ὅς κ' ἐπιδευής.

Τὸ Ε πρὸ τοῦ Μ, φωνήεντος ἢ συμφώνου ἐπαγομένου, ψιλοῦται. ἐμέ. ἐμός. Ἐμῶ, τὸ χέω. ἔμετος. ἔμπης. ἐμπόρευμα.

καὶ τὰ λοιπά. πλὴν τοῦ Ἑμὺς, ἡ χελώνη, παρὰ τὸ ἓ ἤγουν ἑαυτὴν Μύειν, τουτέστι κρύπτειν ἐντὸς τοῦ ὀστράκου. καὶ Ἕμα, τὸ ἄφεμα, καὶ ἡ πέμψις.

Τὸ Ε πρὸ τοῦ Ν ἢ ἑνὸς ἢ δισσοῦ ψιλοῦται. Ἐνὸς, ἐνιαυτός. Ἐνυὼ, ὄνομα πολεμικῆς θεᾶς. ἐξ ἧς καὶ Ἐνυάλιος, Ἄρης, καὶ σάλπιγξ ὁ τῆς Ἐνυοῦς παῖς. καὶ Ἐνῶ, ἐνόσω, τὸ κινῶ, ἐξ οὗ καὶ Ἔνοσις, ἡ κίνησις. καὶ Ἐνοσίχθων καὶ Ἐνοσίγαιος Ποσειδῶν, ὁ τὴν γῆν κινῶν. καὶ ἔναιτος. καὶ ἐναίτη ἐννέα. καὶ ἐννενήκοντα. Ἔνη, ἡ νεομηνία. καὶ ἔννηφι. Ἐνηὴς, ὁ πρᾶος. καὶ τὰ λοιπά. πλὴν τοῦ ἕνεκα, ὃ καὶ ἕνεκεν γράφεται. ἓν, ἑνός. καὶ τῶν ἐξ αὐτοῦ. Ἑνὰς, ἡ μόνας. καὶ ἑνίζω. Ἑνῶ, τὸ μιγνύω, καὶ Ἕνωσις, ἡ μίξις. καὶ Ἕντο, ἀντὶ τοῦ ἐνεδύοντο. ἐν τοῖς Θεοδωρίτου τὸ Ἕνος καὶ Ἕνη, δασυνόμενα εὗρον, ὡς ἀπὸ τοῦ ἑνὸς, καὶ δι' ἑνὸς ν, τὸ ἕνη. σὺ δὲ ψίλου αὐτὸ κατὰ τὴν κρατοῦσαν συνήθειαν.

Τὸ Ε πρὸ τοῦ Ξ δασύνεται. ἓξ, ἐπὶ ἀριθμοῦ. ἑξήκοντα. ἑξακόσια. ἑξῆς. ἑξείης, τὸ αὐτό. Ἕξω, ἀντὶ τοῦ λάβω, ἐπὶ μέλλοντος, καὶ Ἕξις, θετικόν. πλὴν μόνης τῆς ἐξ, προθέσεως, καὶ τῶν ἐξ αὐτῆς γινομένων. Ἔξωρος, ὁ παλαιός. ἐξορία. Ἔξαιτος, ὁ ἐξαίρετος, κατὰ συγκοπήν. καὶ τῶν ἀπὸ κλίσεως ἐχόντων τὸ ε. οἷον ἔξεον. ἔξαινον.

Τὸ Ε πρὸ τοῦ Ο δασύνεται. οἷον Ἑὸν, τὸ ἴδιον, καὶ τὸ ἀγαθόν. ὡς τὸ,

θεοὶ δοτῆρες ἑάων.

ἑορτή. ἑορτάζω. καὶ Ἕο, ἀντὶ τοῦ αὐτοῦ. ὡς τὸ,

ἕο μέγ' ἀμείνονα φῶτα
Ἠτίμησε. ἑλὼν γὰρ ἔχει γέρας αὐτὸς ἀπούρας.

πλὴν τῶν ἀπὸ θέματος ἐχόντων αὐτό. ἔοικεν. ἔοργεν. Ἔολπεν, ἀντὶ τοῦ ἔπραξε, καὶ ἀντὶ τοῦ ἤλπισε, καὶ Ἐὸν, τὸ ὑπάρχον.

Τὸ Ε πρὸ τοῦ Π ψιλοῦται. Ἔπω, τὸ λέγω. Ἔπος, τὸ λόγιον. ἐπαίτης. Ἐπήτης, ὁ λόγιος. ἐπὶ, πρόθεσις. καὶ ὅσα ἐξ αὐτῆς. οἷον ἐπιφορά. ἐπιτήδειος. ἐπίβουλος. καὶ ἐπήβολος. καὶ τὰ λοιπά. πλὴν τοῦ Ἕπω, ἕπομαι, τὸ ἀκολουθῶ. καὶ ἑπτὰ, ἐπὶ τοῦ ἀριθμοῦ. καὶ ἑπτὰς, ἑπτάδος. καὶ ὅσα ἀπὸ τοῦ ἑπτά.

Τὸ Ε ἐπιφερομένου τοῦ Ρ, μετὰ φωνήεντος ἢ συμφώνου, ἢ αὐτοῦ τοῦ Ρ, ψιλοῦται· εἰ μὴ ἐπάγοιτο τῷ Ρ, τὸ Δ, ἢ τὸ Μ, ἢ τὸ Κ, ἢ τὸ Π, ἢ τὸ Σ. οἷον ἔρως. ἐρωτῶ. Ἔρνος, ὁ κλάδος. Ἔρις, ἡ φιλονεικία. Ἐρύω, τὸ ἑλκύω. Ἔρρω, τὸ φθείρομαι. ἔρχομαι. καὶ τὰ λοιπά. εἴρηται εἰμὴ ἐπάγοιτο τῷ Ρ, τὸ Δ, ἢ τὸ Κ, ἢ τὸ Μ, ἢ τὸ Π, ἢ τὸ Σ, διὰ τὸ Ἕρδω, τὸ πράττω. τοῦτο γὰρ ἐν τοῖς Ἰωάννου δασυνόμενον εὗρον, ἔνιοι δὲ ψιλοῦσιν αὐτό, οὗ ὁ μέλλων ἔρξω. Ἕρκος, τὸ περίφραγμα. Ἕρπω, ἀφ' οὗ καὶ ἑρπετόν. καὶ ἑρπύζω. ἑρμῆς. Ἕρσα, ἡ δρόσος. καὶ Ἑρσήεις, ὁ δροσώδης. καὶ Ἕργμα, τὸ κώλυμα. Ἔρμα δὲ, τὸ ἔρεισμα, ψιλοῦται· ὡς ἀπὸ τοῦ ἔρεισμα γεγονὸς κατὰ συγκοπήν. ἐν δὲ τοῖς Θεοδωρίτου, ἀλλὰ καὶ ἐν πολλοῖς τῶν Σχεδεκτοτῶν τὸ ἔρνος δασυνόμενον εὗρον. καὶ σὺ γοῦν δάσυνε μᾶλλον αὐτό. οἱ δὲ ψιλοῦντες κατὰ ἐτυμολογίαν ψιλοῦσιν, ὡς ἐκ τῆς ἔρας φυόμενον.

Τὸ Ε πρὸ Σ, φωνήεντος ἢ συμφώνου ἢ αὐτοῦ τοῦ Σ ἐπαγομένου, ψιλοῦται. οἷον ἔσω, ἀντὶ τοῦ ἔσωθεν. ἔσοπτρον. Ἐσσαῖοι, καὶ Ἐσσηνοὶ, ὀνόματα ἐθνῶν. ἐσθὴς, ἐσθῆτος. ἐσθίω. Ἔσδρας, κύριον. Ἐσθλὸς, ἀγαθός. ἔσχατος. ἐσχάρα. καὶ τὰ λοιπά. πλὴν τοῦ Ἑσία, ἡ πρεσβεία. καὶ Ἕσσο, ἀντὶ τοῦ ἐνεδέδυσο. καὶ Ἑσσάμενος, ὁ ἐνδυσάμενος, ἀπὸ τοῦ Ἕω, ὃ σημαίνει τὸ ἐνδύομαι. ἑσπέρα. καὶ τῶν ἐξ αὐτῆς. Ἑσπόμεθα, ἀντὶ τοῦ ἀκολουθήσομεν. τοῦτο δὲ ἐν τοῖς Θεοδωρίτου ψιλούμενον εὗρον. Ἕς τε ἀντὶ τοῦ ἕως οὗ. καὶ τῶν ἐχόντων τὸ Τ μετὰ τοῦ Σ. οἷον ἑστία. ἑστιῶ. ἑστίασις. Ἑστιαῖος, κύριον. ἕστηκα, ἑστηκὼς, ἑστὼς, καὶ ἑστάναι. τὸ δὲ ἔστην, ἔστησα, ἐστάθην, ἐστησάμην, ψιλοῦνται, ὡς ἀπὸ κλίσεως ἔχοντα τὸ Ε, ἤγουν ἀπὸ αὐξήσεως. σὺν τούτοις καὶ τὸ ἔστιν, ἀντὶ τοῦ ὑπάρχει. καὶ τὸ ἔστω. ἀπὸ τοῦ Ἔω, τὸ ὑπάρχω, γινόμενα.

Τὸ Ε πρὸ τοῦ Τ ψιλοῦται. ἔτος. Ἐτεὸν, τὸ ἀληθές. ἔτυμον, καὶ ἐτήτυμον, τὸ αὐτό. Ἐτώσιον, τὸ μάταιον. Ἔτνος, τὸ φάβα. πλὴν τοῦ Ἕτοιμος, ὁ πρόχειρος. ἑτοιμάζω. ἑτοιλοπείθης. Ἕτερος, ὁ ἄλλος. Ἑταῖρος, ὁ φίλος. ἑτέρα, ἡ ἄλλη. καὶ ἑτεροῖον. Ἑταῖρα καὶ Ἑταιρὶς, ἡ πόρνη. καὶ ἑταιρεία. καὶ τὰ τούτοις ὅμοια. τινὲς δὲ καὶ τὸ Ἕτνος δασύνουσιν, ὀφεῖλον ψιλοῦσθαι· δηλοῖ δὲ τὸν ἑψημένον κύαμον· γίνεται δὲ παρὰ τὸ Ἕω, τὸ ἀπολύω, ἔτος, καὶ πλεονασμῷ τοῦ ν ἔτνος, τὸ διαλελυμένον ὑπὸ τῆς ἑψήσεως, καὶ κλίνεται ἔτνους. καὶ Ἐτνήρυσις, τὸ κοχλιάριον, παρὰ τὸ, τὸ ἔτνος ἀρύεσθαι.

Τὸ Ε πρὸ τοῦ Υ, εἴτε ἐν συνελεύσει εἴτε ἐν διαστάσει ἐστὶ, ψιλοῦται. οἷον Ἐὺς, ὁ πλατὺς, καὶ ἀγαθός. εὐρύς. εὐρύνω. εὖ, ἀντὶ τοῦ καλῶς, καὶ τὰ ἐξ αὐτοῦ. πλὴν τοῦ εὑρίσκω, εὕρεσις, εὕρημα, εὕρω, εὑρήσω. Εὕω, τὸ φωτίζω. καὶ τὰ ὅμοια.

Τὸ Ε πρὸ τοῦ Φ ψιλοῦται. ἔφεσις. ἐφετόν. ἔφεσος. ἐφραίμ. ἔφορος. καὶ τὰ ὅμοια. πλὴν τοῦ Ἑφθὸς, ὁ ἑψημένος.

Τὸ Ε πρὸ τοῦ Χ ψιλοῦται. ἔχις. ἐχθρός. ἔχω. ἐχῖνος. καὶ τὰ παραπλήσια.

Τὸ Ε πρὸ τοῦ Ψ δασύνεται ἀεί. οἷον ἕψω, καὶ ἑψῶ. ἑψήσω. ἕψημα. ἑψητόν. Ἕψω, τὸ ἀκολουθήσω, ἐπὶ μέλλοντος. εἰ μὴ ἀπὸ κλίσεως εἴη, ἤγουν αὐξήσεως. οἷον ἐψιλωμένος. ἔψυξα. ἐψώμισα. ἐψυχαγώγησα. Ἔψων, τὸ ἐσπόγγιζον. σημείωσαι καὶ τὸ Ἑψία, ὅ ἐστιν ἡ διὰ λόγων παιδιὰ, ἐκ τοῦ ἔπω, ἕψω, ὃ δηλοῖ τὸ λέξω. ἐξ οὗ καὶ Φιλέψιος, ὁ φιλοπαίγμων.

Τὸ Ε πρὸ τοῦ Ω δασύνεται. οἷον Ἕως, ἡ ἡμέρα, καὶ ἡ ἀνατολή. καὶ τὰ ἐξ αὐτοῦ. ἕωθεν. ἑωθινός. Ἕωλος, ὁ χθεσινός. ἑωσφόρος. καὶ Ἑωυτὸν, Ἰωνικῶς ἀντὶ τοῦ ἑαυτόν. σὺν τούτοις ἕως, ἐπίρρημα χρονικόν. καὶ Ἕω, τὸ ἐνδύομαι, καὶ τὸ πληρῶ, καὶ τὸ πορεύομαι, καὶ τὸ ἀπολύω. καὶ ἑώρακα, ἀπὸ θέματος καὶ ἑωρακὼς, καὶ ἑωράκειν. πλὴν τοῦ Ἔω, τὸ ὑπάρχω. καὶ Ἐῶ, τὸ καταλιμπάνω. καὶ τῶν κατὰ αὔξησιν, ἐωνημένος. ἐῴκειν. ἐώργειν. περὶ ὧν αὐτίκα ἐροῦμεν.

Καθολικοὶ κανόνες περὶ πνεύματος τοῦ Ε.

Τὸ Ε πλεονάζον, ἐν μὲν λέξεσι ψιλουμέναις ἀπὸ φωνήεντος ἀρχομέναις μεταλαμβάνει τοῦ ψιλοῦ πνεύματος, ἐν δὲ δασυνομέναις, τοῦ δασέος. καὶ τοῦ μὲν προτέρου παράδειγμα τὸ ὠνημένος, Ἐωνημένος, ὁ ἀγορασάμενος. ᾠνοχόει, Ἐῳνοχόει. ᾦξεν, Ἔῳξεν, ἀντὶ τοῦ ἀνέῳξεν. ἦν, Ἔην, ἀντὶ τοῦ ὑπῆρχεν. εἴκοσιν, Ἐείκοσι. τοῦ δὲ δευτέρου τὸ ὥρων, ἑώρων. ὥρακα, ἑώρακα. ἥνδανεν, ἑήνδανεν. εἷς, ἕεις.

Τὸ Ε δασυνόμενον, ἐὰν προσλάβῃ τὸ Υ, ψιλοῦται. οἷον ἕκηλος, ὁ ἥσυχος, Εὔκηλος. ἕωλον, τὸ χθεσινὸν, Εὔωλον. τὸ δὲ Εὔαδεν, ἀντὶ τοῦ ἤρεσε, ψιλοῦται. διότι καὶ ἕαδεν. ἥμαρτον γὰρ οἱ δασύνοντες αὐτό.

Τὸ Ε κατὰ τοὺς παρῳχημένους προερχόμενον καὶ ἀποπίπτον ψιλοῦται· καὶ προέρχεται μὲν ἐν τοῖς ἐνεργητικοῖς καὶ παθητικοῖς τῶν ὁριστικῶν ῥημάτων, οἷον τύπτω ἔτυπτον. λέγω ἔλεγον. τύπτομαι ἐτυπτόμην. ἀποπίπτει δὲ ἐπὶ τῶν ἄλλων ἐγκλίσεων.

Τὸ Ε ἐν ταῖς ἀντωνυμίαις πρὸ συμφώνου ψιλοῦται. ἐγὼ, ἐμοῦ, ἐμοὶ, ἐμὲ, ἐμὸς, ἐμαυτόν. ἐκεῖνος. καὶ τὰ ὅμοια. τὸ δὲ ἑαυτὸν, καὶ τὰ τοιαῦτα, πρὸ συμφώνου μὴ ὄντα, δασύνεται.

Τὸ Ε ἐν τοῖς ἀριθμοῖς δασύνεται. ἕν. ἕνδεκα. ἕξ. ἑξήκοντα. ἑξακόσια. ἑπτά. ἑβδομήκοντα. ἑπτακόσια. ἑκτόν. πλὴν τοῦ ἐννέα. ἐννενήκοντα. καὶ εἴκοσιν.

Τὸ Ε ἐν ταῖς προθέσεσι ψιλοῦται. ἐπί. ἐξ. ἐκ. ἐν. εἰς. ἐς. ὡς καὶ πᾶν φωνῆεν ἐν αὐταῖς ἄνευ τοῦ υ.

Σημειωτέον ὅτι τὸ Ε πρὸ τριῶν φωνηέντων τοῦ Ε Η Ι ψιλοῦται ἀεί. πλὴν τοῦ Ἑέλδωρ, τὸ ἐπιθύμημα. καὶ πρὸ τῶν τριῶν δασέων τοῦ Θ Φ Χ ψιλοῦται ἀεί. πλὴν τοῦ ἑφθός. καὶ πρὸ τοῦ διπλοῦ Ψ καὶ πρὸ τοῦ Γ.

Η.

Τὸ Η πρὸ τοῦ Α ἀπὸ κλίσεως ἤτοι αὐξήσεως εὑρίσκεται, καὶ ψιλοῦται. οἷον Ἠάκει, ἀντὶ τοῦ ἐθρήνησε. καὶ Ἠάριζον, ἀντὶ τοῦ, περὶ ἔαρος ἔλεγον. καὶ τὰ ὅμοια.

Τὸ Η πρὸ τοῦ Β δασύνεται. οἷον Ἥβη, ἡ ἡλικία. καὶ τὰ ἐξ αὐτοῦ, Ἡβῶ. ἡβάσκω. Ἡβηδὸν, ἀντὶ τοῦ σὺν πάσῃ ἡλικίᾳ. πλὴν τοῦ Ἠβαιὸν, τὸ ὀλίγον, καὶ μικρόν. καὶ ἠβολεῖν. καὶ τῶν μὴ παρὰ τὴν ἥβην γινομένων. τὸ μέντοι ἡβρύνετο, ὡς ἀπὸ τοῦ ἁβρὸς γινόμενον, δασύνεται.

Τὸ Η πρὸ τοῦ Γ δασύνεται ἀεί. οἷον ἡγεμών. ἡγεμονία. ἡγοῦμαι. ἡγούμενος. ἡγήτωρ. ἡγήσιππος. ἡγεσίλαος. καὶ τὰ λοιπά. πλὴν εἰ μὴ ἀπὸ κλίσεως εἴη. οἷον Ἠγμένος, ὁ ἀγόμενος. ἠγορόωντο. ἠγροικίσθην. ἤγαμεν. ἠγαπᾶτο. τὸ μέντοι ἡγνικότες, ἐκ τοῦ ἁγνίζω γέγονε. τοῦτο δὲ ἐκ τοῦ ἁγνός· τὸ δὲ ἁγνὸς ἐκ τοῦ ἅζω ῥήματος τὴν δασεῖαν ἐφύλαξε. καὶ πλὴν εἰ μὴ κατὰ τροπήν ἐστι τοῦ Α εἰς Η οἷον Ἠγάθεος, ὁ ἄγαν θεῖος.

Τὸ Η πρὸ τοῦ Δ δασύνεται. ἡδὺς, ἡδίων, ἥδιστος. ἥδιον. ἡδονή. ἡδύνω. καὶ ἥδω. πλὴν τοῦ Ἠδωνοὶ, οἱ Μακεδόνες. Ἤδη, ἀντὶ ἀπάρτι. Ἦδος, τὸ ὄφελος, ὅπερ ἐστὶν ἄκλιτον. καὶ Ἤδει, ἀντὶ τοῦ ἠπίστατο. καὶ τῶν ἀπὸ κλίσεως ἐχόντων τὸ Η. ἠδούμην. Ἦδεν, ἀντὶ τοῦ ἔλεγεν. ἠδυνάμην. τὸ μέντοι ἡδρασμένος καὶ ἡδραιωμένος, ἀπὸ κλίσεως ἔχοντα τὸ Η, δασύνεται. ἀπὸ γὰρ τοῦ ἑδραιῶ καὶ ἑδράζω γεγόνασι.

Τὸ Η πρὸ τοῦ Ε ψιλοῦται. Ἠετίων, κύριον. Ἠέλιος, ὁ ἥλιος. ἠερίβοια. Ἠεροφοῖτις ἐρινὺς, ἡ ἐν τῷ ἀέρι φοιτῶσα.

Τὸ Η πρὸ τοῦ Ζ ψιλοῦται. οἷον Ἤζανοι, ἔθνος. εἰ δὲ εὕρηται ἀπὸ κλίσεως, ἔχει τὸ πνεῦμα τοῦ θέματος. ὡς τὸ ἅζομαι ἡζόμην.

Τὸ Η πρὸ τοῦ Θ ψιλοῦται. οἷον ἦθος. Ἠθμὸς, τὸ σακελιστήριον, ἐκ τοῦ Ἠθῶ, τὸ διϋλίζω. καὶ τὰ λοιπά.

Τὸ Η πρὸ τοῦ Ι ψιλοῦται. οἷον Ἤϊος, ἐπίθετον Ἀπόλλωνος, σημαίνει δὲ τὸν τοξότην. Ἠΐθεος, ὁ ἄγαμος, ἢ ὁ ἡμίθεος. Ἤϊα, τὰ βρώματα. Ἠϊὼν, ὁ αἰγιαλός. καὶ τὰ λοιπά.

Τὸ Η πρὸ τοῦ Κ δασύνεται. Ἥκω, τὸ ἔρχομαι. καὶ τὰ ἐξ αὐτοῦ. Ἥκιστα, ἀντὶ τοῦ οὐδαμῶς. καὶ τὰ λοιπά. πλὴν τοῦ Ἦκα, ἀντὶ τοῦ ἡσύχως. ἠκέστης. Ἠκέσατο, ἀντὶ τοῦ ἐθεράπευσεν. Ἤκαλον, ἀντὶ τοῦ ἠπάτων. καὶ τῶν ὁμοίων.

Τὸ Η πρὸ τοῦ Λ ψιλοῦται. Ἠλίας καὶ Ἠλεὶ, ὀνόματα κύρια. ἠλέκτρα. Ἠλεὸς, ὁ μάταιος. Ἠλεῖοι, ἔθνος, τοῦτο δὲ τινὲς δασύνουσιν, ἐκ τοῦ ἥλιος ἱστοροῦντες. Ἠλιτόμηνον, τὸ ἡμιτελὲς κύημα, ἀπὸ τοῦ ἀλίζω, τὸ ἁμαρτάνω, καὶ τοῦ μὴν μηνὸς, τὸ ἐστερημένον τῆς ἐννεαμήνου γεννήσεως. ἠλίθιος. ἠλιθιότης. καὶ τὰ λοιπά. πλὴν τοῦ ἥλιος. Ἧλος, τὸ καρφίον. ἡλικία. καὶ τῶν ἐξ αὐτῶν. ἡλιοειδής. Ἡλῶ, τὸ προσπαρφῶ. ἧλιξ, ἥλικος, ἡλικιώτης. Ἥλων, ἀντὶ τοῦ ἐκρατήθην, ἀπὸ κλίσεως τοῦ ἁλῶ. Ἥλισεν, ἀντὶ τοῦ συνήθροισεν. Ἥλατο, ἀντὶ τοῦ ἐπήδησεν. Ἡλκωμένος, ὁ τετραυματισμένος. τούτων γὰρ τὰ θέματα δασύνονται. τὰ δὲ λοιπὰ, ὅσα ἔχουσιν ἀπὸ κλίσεως τὸ Η, ψιλοῦνται. οὐ γὰρ ἔχουσιν ἀπὸ πρωτοτύπου φωνῆς τὸ δασὺ πνεῦμα. οἷον Ἠλόμην, τὸ ἐπλανώμην. ἠλαυνόμην. ἤλειψα. καὶ τὰ ὅμοια.

Τὸ Η πρὸ τοῦ Μ ψιλοῦται. ἦμαρ. Ἠμάτιον, ἀντὶ τοῦ καθ' ἡμέραν. Ἦμος. Ἠμαθόεις, ὁ ψαμμώδης. Ἠμωδὸν, ὄρος. Ἠμὶ, τὸ φημί. Ἠμύω, τὸ ἐπικλίνω. καὶ Ὅμηρος,

ἐπί τ' ἠμύει ἀσταχύεσσι.

καὶ τὰ λοιπά. πλὴν τοῦ ἡμέρα. ἥμερος. ἡμερῶ, ῥῆμα. ἥμισυ. ἡμιόλιον. ἡμεῖς. ἡμέτερον. ἡμεδαπός. Ἥμων, ὁ ἀκοντιστής. καὶ ἀπὸ κλίσεως Ἡμμένος, ἐκ τοῦ ἅπτω. Ἥμενος, ὁ καθήμενος. τὸ δὲ Ἠμήκει, ἀντὶ τοῦ ἐθέρισεν, ἐκ τοῦ ἀμῶ, ψιλοῦται.

Τὸ Η πρὸ τοῦ Ν ψιλοῦται. οἷον Ἦνις. ὁ ἐνιαύσιος. Ἦνοψ, ὁ μέλας, ἢ ὁ λαμπρός. Ἠνορέη, ἡ ἀνδρία. Ἠνεμόεις, ὁ ὑψηλός. καὶ Ἠνεμόεσσα, ἡ ὑψηλή. καὶ τὰ ἀπὸ κλίσεως, οἷον ἠνόχλησα. ἠναιδησάμην. ἠνιάθην. καὶ Ἠνίπαπεν, ἀντὶ τοῦ ἐκακολόγησε. πλὴν τοῦ Ἡνία, ὁ χαλινὸς, καὶ Ἡνίον, τὸ αὐτό. καὶ τῶν ἐξ αὐτοῦ. ἡνίοχος. ἡνιοχεύω. ἡνιοχεία. ἡνίκα. Ἥνδανεν, ἀπὸ τοῦ ἁνδάνω. καὶ Ὅμηρος,

Βουλὴν ἥ ῥα θεοῖσιν ἐφήνδανε μητιόωσι.

Τὸ Η πρὸ τοῦ Ξ ἐν τῷ ἥξω μέλλοντι μόνῳ εὑρίσκεται καὶ δασύνεται. τὰ δὲ ἔχοντα αὐτὸ ἀπὸ κλίσεως ψιλοῦνται. οἷον ἠξίωσα. Ἦξεν, ἀντὶ τοῦ ἤγαγε.

Τὸ Η πρὸ τοῦ Ο ψιλοῦται. οἷον Ἠονεὺς, κύριον. καὶ ἀπὸ κλίσεως Ἠόνει, ἀντὶ τοῦ ἔβραχε.

Τὸ Η πρὸ τοῦ Π ψιλοῦται. Ἠπῶ, τὸ ῥάπτω. Ἠπεδανὸς, ὁ ἀσθενῶν, καὶ ὁ χθαμαλός. Ἤπιος, ὁ πρᾶος. Ἠπεροπευτὴς, ὁ ἀπατεών. Ἤπειρος, ἡ γῆ. καὶ τὰ λοιπά. πλὴν τοῦ ἧπαρ, ἥπατος. ὅθεν καὶ ἡπατοσκοπία. καὶ τῶν ἐξ αὐτοῦ.

Τὸ Η πρὸ τοῦ Ρ, μετὰ φυσικοῦ μακροῦ, δασύνεται. οἷον ἥρα. ἥρως. Ἥρων, κύριον. ἡρώδης. ἡρωδιανός. ἡρακλῆς. μετὰ δὲ βραχέος ψιλοῦται. οἷον Ἠριδανὸς, ποταμός. Ἠρύγιον, εἶδος βοτάνης. ἠριγένεια. ἠριγόνη. Ἠρίον, ὁ τάφος. Ἤρεμος, ὁ ἥσυχος. ἠρεμῶ. ἠρεμία. Ἠριγέρων, βοτάνη, παρὰ τὸ ἐν τῷ ἦρι γηρᾶν. Ἠρινὸς καιρὸς, ὁ ἐαρινός. καὶ Ἠρέταινος, κύριον. τὸ μέντοι ἡρόδοτος καὶ ἡρόφιλος, ἐκ τοῦ ἥρα γεγονότα, κατὰ τροπὴν τοῦ μακροῦ εἰς βραχὺ δασύνονται. τὸ δὲ ἠρόμην. καὶ ἠρήρειστο. καὶ ἤρετο. ἐκ κλίσεως ὄντα, ψιλοῦται.

Τὸ Η πρὸ τοῦ Σ, φωνήεντος ἢ συμφώνου ἐπαγομένου, ἢ αὐτοῦ τοῦ Σ, δασύνεται. οἷον Ἧσις, ἡ ἡδονή. καὶ ὅσα ἀπὸ τοῦ ἥδω. Ἥσθην, ἀντὶ τοῦ ηὐφράνθην. καὶ Ἧσαι, ἀντὶ τοῦ εὐφρᾶναι. ἡσαΐας. ἡσαῦ. ἡσίοδος. Ἡσιόνη, κύριον. Ἥσυχος, ὁ ἤρεμος. ἡσυχάζω. ἡσυχία. Ἥσσων, ὁ ἐλάττων. Ἧσσα, ἡ τροπή. πλὴν τοῦ Ἠσὶν, ἀντὶ τοῦ φησὶν, ὅπερ ἀπὸ θέματος ἔχει τὸ η. καὶ χωρὶς τῶν ἀπὸ κλίσεως· Ἦσα, ἀντὶ τοῦ ἔλεξα. Ἦσται, ἀντὶ τοῦ λέλεκται. Ἤσθιον, τὸ ἔτρωγον. Ἦσθα, ἀντὶ τοῦ ὑπῆρχες. Ἤσθη, ἀντὶ τοῦ ἐλέχθη. τὸ μέντοι Ἧστο, ἀντὶ τοῦ ἐκάθητο. καὶ Ἧσται, ἀντὶ τοῦ καθῆσθαι, ἐκ τοῦ ἕω γινόμενα, δασύνονται.

Τὸ Η πρὸ τοῦ Τ ψιλοῦται. Ἦτορ, ἡ ψυχή. Ἦτρον, τὸ ἧπαρ, ἢ τὸ ἔντερον. Ἦτα, τὸ στοιχεῖον. Ἤτοι, ἑρμηνευτικὸς σύνδεσμος. καὶ ἀπὸ κλίσεως ἠτήσατο. ἠτιάσατο. ἠτύχησεν. ἠτίμησε. καὶ ἕτερα. πλὴν τοῦ ἧττα. καὶ ἡττῶ. καὶ ἥττων. καὶ τῶν ἀπὸ κλίσεως δασυνομένων. Ἡταιρηκὼς, ὁ πορνεύσας. καὶ ἡτοίμασα. τὸ δὲ ἥτις ἐκ τοῦ ἡ ἄρθρου καὶ τοῦ τὶς γέγονε, διὸ καὶ δασύνεται.

Τὸ Η πρὸ τοῦ Υ ψιλοῦται ἀεί. Ἠῢς, ἡ πλατύς. ἠϋγένειος. ἠΰκομος. Ἠΰτε, ἀντὶ τοῦ καθά.

Τὸ Η πρὸ τοῦ Φ δασύνεται ἀεί. ἥφαιστος ἡφαιστίων. χωρὶς τῶν ἀπὸ κλίσεως· ἠφειδηκώς. Ἤφυσεν, ἀντὶ τοῦ ἤντλησεν. ἠφίει. καὶ τὰ λοιπά.

Τὸ Η πρὸ τοῦ Χ ψιλοῦται. ἠχῶ. καὶ ὅσα ἀπὸ τοῦ ἦχος. καὶ ὅσα ἀπὸ κλίσεως. Ἦχεν, ἀντὶ τοῦ ἔφερεν. ἠχθέσθη. καὶ τὰ λοιπά. πλὴν τοῦ Ἧχι, ἀντὶ τοῦ ὅπου.

Τὸ Η πρὸ τοῦ Ψ ἀπὸ κλίσεως τοῦ ἅπτω καὶ ἅπτομαι εὕρηται, διὸ καὶ δασύνεται. ἡψάμην. ἥψατο. ἧψε.

Τὸ Η πρὸ τοῦ Ω ψιλοῦται ἀεί. οἷον Ἠὼς, ἡ ἡμέρα. Ἠὼν, ὁ αἰγιαλός. Ἠῶθι, ἀντὶ τοῦ ἐκ πρωΐας. καὶ ἀπὸ αὐξήσεως. Ἠωρημέος, Ἰωνικῶς, ὁ χρονίσας. καὶ τὰ ὅμοια.

Καθολικὸς κανὼν περὶ πνεύματος τοῦ Η.

Τὸ Η πρὸ τοῦ Φ ἢ τοῦ Χ, ἢ καὶ πρὸ δύο δασέων, ἢ τῷ δασεῖ ὑποτασσομένου ἀμεταβόλου, ψιλοῦται. ἠφίει. ἦχος. ἤχθαιρον. ἤχλυον. σημείωσαι τὸ ἥφαιστος καὶ ἡφαιστίων.

Σημείωσαι ὅτι τὸ Η πρὸ τοῦ Β. Γ. Σ. Φ. Ψ. δασύνεται ἀεί. πλὴν τῶν ἀπ' αὐξήσεως. ἠφίει. ἠφάνισε. καὶ τῶν ἀπὸ πλεονασμοῦ. ἠβαιός. ἠγάθεος. πρὸ δὲ παντὸς φωνήεντος ψιλοῦται ἀεί. ὡσαύτως καὶ πρὸ τοῦ Ξ καὶ πρὸ τοῦ Θ.

Τὸ Η ἐν τροχαϊκῇ λέξει ψιλοῦται. Ἦδος, τὸ ὄφελος. Ἦμαρ, ἡ ἡμέρα. ἦμος. Ἠμὶ, τὸ λέγω. καὶ τὰ ὅμοια. πλὴν τοῦ Ἧλος, ὅπερ ἐκ τοῦ ἵημι. ἥσω, γίνεται. καὶ ἧπαρ, ὅπερ ἀπὸ τοῦ ἥδω ἐστίν.

Ι.

Τὸ Ι πρὸ τοῦ Α ψιλοῦται. ἰατρός. ἰάκωβος. ἴαμβος. ἰάπτω. ἰάμβλιχις. ἴαμα. ἰατήρ. ἰάσων. καὶ τὰ λοιπά.

Τὸ Ι πρὸ τοῦ Β ψιλοῦται. Ἴβυκος, κύριον. Ἶβις, τὸ ζῶον. Ἴβηρες, ἔθνος.

Τὸ Ι πρὸ τοῦ Γ ψιλοῦται. οἷον Ἰγνὺς, Ἰγνύη, τὸ ὄπισθεν τοῦ γόνατος. ἰγνάτιος. ἴγδα. πλὴν τῶν ἀπὸ κλίσεως. Ἵγμαι, ἀντὶ τοῦ ἔρχομαι. καὶ ἵγμενος.

Τὸ Ι πρὸ τοῦ Δ ψιλοῦται. οἷον Ἶδος, ὁ κόπος, καὶ ὁ ἰδρώς. Ἰδίω, τὸ κοπιῶ. ἴδιον. Ἴδε, ἀντὶ τοῦ θέασαι, καὶ ἀντὶ τοῦ, ἰδοὺ ἰδού. Ἴδη, ἡ βοτάνη, καὶ τὸ ὄρος. καὶ Ἰδαῖος, ἀπὸ τῆς ἴδης. πλὴν εἰ μὴ τῷ Δ τὸ Ρ ἐπάγοιτο. σεσημείωται τὸ ἴδρις· ἔν τισι δὲ δασυνόμενον εὗρον αὐτό.

Τὸ Ι πρὸ τοῦ Ε ψιλοῦται. ἰεσσαί. ἰαχονίας. ἰεμενεί. πλὴν τοῦ ἱερός. καὶ τῶν ἐξ αὐτοῦ. ἱερεύς. ἱέρεια. Ἱερεῖον, τὸ θῦμα. ἱερεύω. ἱερουργῶ. ἱεριχώ. ἱερουσαλήμ. ἱέραξ. καὶ ἀπὸ κλίσεως, Ἵει, ἀντὶ τοῦ ἔπεμπεν. ἱεὶς, ἡ μετοχή. Ἵεμαι, ἀντὶ τοῦ προθυμοῦμαι. ἵετο. καὶ τὰ ὅμοια.

Τὸ Ι πρὸ τοῦ Ζ δασύνεται ἀεί. Ἵζω, τὸ κάθημαι. καὶ τὰ ἐξ αὐτοῦ. ἱζήσω. ἱζάνω.

Τὸ Ι πρὸ Η ψιλοῦται. οἷον ἰησοῦς. ἰητρός. ἰητήρ. Ἴημι, τὸ πορεύομαι. Ἴῃ, ἀντὶ τοῦ ἔλθῃ. πλὴν τοῦ Ἱέω, ἱῶ, τὸ πέμπω, καὶ Ἵημι, τὸ αὐτὸ, ὧν ὁ παρατατικὸς ἵην.

Τὸ Ι πρὸ τοῦ Θ ψιλοῦται ἀεί. Ἰθὺς, ὁ εὐθύς. Ἰθαγενὴς, ὁ ἐγχώριος. ἰθάκη. ἰθακήσιος. Ἰθώμη, πόλις. καὶ τὰ λοιπά.

Τὸ Ι πρὸ τοῦ Κ ψιλοῦται. Ἴκελος, ὅμοιος. ἴκαρος. Ἰκάριον, πέλαγος. Ἰκόνιον, πόλις. Ἰκρίον, τὸ ὀρθὸν ξύλον. Ἰκτὶς, ὄρνεον. ἰκμάς. ἰκμαλέον. πλὴν τοῦ ἱκανός. ἱκανῶ, ῥῆμα. Ἵκω, τὸ ἱκετεύω· ἀφ' οὗ καὶ ἱκετεία, καὶ ἱκέσιος, καὶ ἱκεσία. Ἵκω, τὸ καταλαμβάνω, ποιητικὸν διὰ τοῦ ι γραφόμενον. ἀφ' οὗ καὶ ἱκάνω, παράγαγον. ἱκνοῦμαι καὶ ἀπὸ κλίσεως Ἵκετο, ἀντὶ τοῦ ἦλθε, καὶ ἷκτο τὸ αὐτό.

Τὸ Ι πρὸ τοῦ Λ, ἢ ἑνὸς ἢ δισσοῦ, ψιλοῦται. Ἴλιος, ἡ Τροία. Ἶλος, κύριον. Ἰλὺς, ὁ βόρβορος. Ἴλη, ἡ τάξις. Ἴλλος, ὁ ὀφθαλμός. Ἰλλὰς, τὸ σχοινίον. καὶ Ἰλλούστριος, τὸ ἀξίωμα. Ἰλεὸς, ὁ φωλεός. ἴλιγγος. ἰλιγγιῶ. πλὴν τοῦ Ἵλαος, ὁ εὐμενὴς, καὶ Ἵλεως, Ἀττικῶς τὸ αὐτό. ἱλῶ, ῥῆμα. ἱλαρός. ἱλαρότης. ἱλαρίων. ἱλάσκω. ἱλασμός. καὶ Ἱλήκοις, ἀντὶ τοῦ ἵλεως εἴης.

Τὸ Ι πρὸ τοῦ Μ, φωνήεντος ἐπιφερομένου, δασύνεται ἀεί. Ἵμερος, ἡ ἐπιθυμία. Ἱμέριος, κύριον. Ἱμὰς, ὁ λῶρος. ἱμάσθλη. Ἱμῶ, τὸ ἀντλῶ. ἱμονιά. Ἱμέρα, πόλις. πλὴν τοῦ Ἴμεναι, ἀντὶ τοῦ πορεύεσθαι. καὶ Ἴμεν, ἀντὶ τοῦ πορευόμεθα. Συμφώνου δὲ ἐπαγομένου ψιλοῦται. Ἴμβρος, νῆσος. καὶ ἕτερα.

Τὸ Ι πρὸ τοῦ Ν ψιλοῦται. Ἴναχος, ποταμός. Ἰνὼ, ὄνομα θεᾶς. Ἰνίον, τὸ νεῦρον. Ἶν, Ἰνὸς, ἡ δύναμις. Ἰνῶ, τὸ ἐνδυναμῶ. πλὴν τοῦ Ἵνα, αἰτιολογικοῦ συνδέσμου. καὶ Ἵνα, ἀντὶ τοῦ ὅπου, τοπικοῦ ἐπιῤῥήματος.

Τὸ Ι πρὸ τοῦ Ξ ψιλοῦται. Ἶξ, ὁ σκώληξ. Ἰξίων, κύριον. πλὴν τοῦ Ἵξομαι, ἀντὶ τοῦ παραγίνομαι. καὶ Ἷξον, ἀντὶ τοῦ κατέλαβον. ὡς τὸ,

Οἳ δ' ἷξον κοίλην Λακεδαίμονα κητώεσσαν.

τὸ μέντοι Ἴξαλος, ὁ ὁρμητικός. καὶ ἰξὺς, εἰ καὶ ἀπὸ τοῦ ἵξαι γέγονεν, ἀλλ' ὅμως ψιλοῦται. πολλάκις γὰρ ἡ παραγωγὴ εἴωθεν ἀλλάσσειν καὶ τὸ πνεῦμα. ὡς ἐν τῷ ἅμα, ἄμυδις. Ἰδίω, ἵδρως. ἵξω, ἰξός. ὁδὸς, ὀδυσσεύς. εἴρω, Εἱρμός. εἴργω, Εἱρκτή.

Τὸ Ι πρὸ τοῦ Ο ψιλοῦται ἀεί. οἷον, ἰοβιανός. ἰοβάτης. ἰόλαος. ἰορδάνης. Ἴον, τὸ ἄνθος. Ἰοθὸρ, ὁ πενθερὸς τοῦ Μωϋσέος. ἰοκάστη. ἰός. καὶ τὰ λοιπά. ζήτει, ἐὰν τὸ ἰὸς ἐλήφθη καὶ εἰς τὸ βέλος. οὐ γὰρ εὗρον διαστολὴν τούτου ἐν τοῖς περὶ πνευμάτων. παρὰ μέντοι τοῖς Νεωτέροις Γραμματικοῖς καὶ δασυνόμενον τοῦτο κατέλαβον, ἐκ τοῦ ἵημι, τὸ πέμπω, καὶ ψιλούμενον ἐκ τοῦ ἰοῦσθαι.

Τὸ Ι πρὸ τοῦ Π, ἑνὸς ὄντος, ψιλοῦται. Ἴπτω, τὸ βλάπτω. Ἴπνος, ὁ φοῦρνος. Ἶπος, ἡ παγὶς τῶν μυῶν. καὶ Ἶπες, οἱ σκώληκες. ἀπὸ πτώσεως σεσημείωται τὸ Ἵπταμαι, δασυνόμενον. Δισσοῦ δὲ ὄντος δασύνεται. οἷον Ἵππος. καὶ τὰ ἐξ αὐτοῦ συγκείμενα. ἱππεύω. ἱππεύς. ἱππίας. ἱπποκράτης. ἱππῶναξ. Ἱππόκομος, ὁ τῶν ἵππων ἐπιμελούμενος. ἱππηλάτης. ἱππηλάσιον. ἱππομανής.

Τὸ Ι πρὸ τοῦ Ρ ψιλοῦται. Ἶρος, ὁ πτωχός. Ἶρις, τὸ τόξον. πλὴν τῶν ἀπὸ ἱερὸς γινομένων κατὰ κρᾶσιν τοῦ ι καὶ ε εἰς ι μακρόν. οἷον Ἱρὸς, ὁ ἱερός. Ἱρεῖον, τὸ θῦμα. Ἵρηξ, ὁ ἱέραξ. τινὲς δὲ παραλόγως ψιλοῦσι τὰ τοιαῦτα, λέγοντες ὅτι τὰ συγκοπέντα κατὰ Αἰολεῖς ψιλοῦνται. οἷον ὥρμησεν, Ὦρσεν. ἁρμόσας, Ἄρσας. πρὸς οὓς ἔστιν εἰπεῖν, ὅτι οὔτε τὸ ὥρμησεν ἐγένετο κατὰ συγκοπὴν ὦρσεν, οὔτε τὸ ἁρμόσας, ἄρσας. ἀλλὰ ἀπὸ τοῦ Ὄρω, τὸ διεγείρω, ὁ μέλλων ὀρῶ, καὶ Αἰολικῶς ὄρσω. καὶ Ἄρω, τὸ ἁρμόζω, ἀρῶ, καὶ Αἰολικῶς ἄρσω. τὰ τοιαῦτα ψιλοῦνται γινόμενα. οὔτε μὴν τὸ ἱρὸς καὶ ἱρεῖον καὶ ἵρηξ, συνεκόπησαν Αἰολικῶς, ἀλλὰ κρᾶσιν ἔπαθον τοῦ ι καὶ ε εἰς ι ὡς ἐν τῷ ὄφιες ὄφις ἔστιν εὑρεῖν.

Τὸ Ι πρὸ τοῦ Σ, εἰ μὴ τὸ Τ ἐπάγοιτο, ψιλοῦται ἀεί. Ἴσος, ὁ ὅμοιος. Ἶσις, ὄνομα θεᾶς. ἰσίδωρος. ἰσμηνίας. ἰσμαήλ. Ἰσπανία, χώρα. ἰσχάς. ἰσχίον. ἰσχνός. ἰσχύς. εἰ δὲ ἐπάγοιτο τὸ Τ δασύνεται. Ἵστωρ, ὁ ἐπιστήμων. ἱστορία. Ἱστιαῖος, κύριον. Ἵσμα, τὸ κτίσμα. ἵστημι. ἱστός. ἱστάριον. ἱστίον. σημείωσαι, τὸ Ἴστω, ἀντὶ τοῦ γινωσκέτω. ἰστέον. καὶ Ἴστρος, ποταμός.

Τὸ Ι πρὸ τοῦ Τ ψιλοῦται. Ἴτυς, ἡ περιφέρεια τοῦ ἅρματος. καὶ Ἴτυς, ὁ υἱὸς τῆς ἀηδόνος. ἰταλία. ἰτέα. Ἰτέον, ἀντὶ τοῦ πορευτέον. Ἰταμὸς, ὁ ἀναίσχυντος. Ἴτης, ὁ πτωχός. καὶ τὰ λοιπά.

Τὸ Ι πρὸ τοῦ Υ ψιλοῦται. Ἴυγξ, εἶδος ὀρνέου, καὶ ὀργάνου. Ἰύζω, τὸ βοῶ. καὶ τὰ ὅμοια.

Τὸ Ι πρὸ τοῦ Φ ψιλοῦται. ἴφικλος. ἴφιτος. Ἶφι, ἀντὶ τοῦ ἰσχυρῶς, καὶ λίαν. καὶ ἴφια μῆλα. καὶ Ἶφις, ὁ ταχύς. Ἰφιγένεια καὶ Ἰφιάνασσα, κύρια. καὶ τὰ λοιπά.

Τὸ Ι πρὸ τοῦ Χ ψιλοῦται. ἴχνος. ἰχώρ. ἰχθύς.

Τὸ Ι πρὸ τοῦ Ψ ψιλοῦται. ἴψ, ὁ σκώληξ. ἰψιφαγία. Ἴψω, ἐπὶ μέλλοντος, ἀντὶ τοῦ βλάψω.

Τὸ Ι πρὸ τοῦ Ω ψιλοῦται. ἰώσηππος. Ἰωάννης. ἰών, ἴωνος. ἰωνᾶς. ἰωήλ. ἰώβ. Ἰωκὴ, ἡ δίωξις. Ἴωξις, τὸ αὐτό. Ἰῶτα, τὸ στοιχεῖον. καὶ τὰ λοιπά. Ἱῶ δὲ, τὸ πέμπω, δασύνεται.

Καθολικὸς κανὼν περὶ πνεύματος τοῦ Ι.

Σημειωτέον, ὅτι τὸ Ι πρὸ παντὸς φωνήεντος ψιλοῦται ἀεὶ, καὶ πρὸ τῶν τριῶν δασέων τοῦ Θ. Φ. Χ, πρὸ τοῦ Ζ διπλοῦ ἀεὶ δασύνεται, πρὸ δὲ τῶν ἑτέρων δύο διπλῶν Ξ. Ψ. ἀεὶ ψιλοῦται. καὶ πρὸ τοῦ Β. Γ. πρὸ δὲ τοῦ Μ δασύνεται ἀεὶ, πλὴν τοῦ Ἴμβρος.

Ο.

Τὸ Ο πρὸ τοῦ Α ψιλοῦται. οἷον Ὄαροι, αἱ γυναῖκες. καὶ Ὀαρίζειν, τὸ γυναικὶ συνομιλεῖν, ἤγουν μίγνυσθαι. καὶ Ὀαριστὺς, ἡ τῶν γυναικῶν ὁμιλία. καὶ τὰ λοιπά.

Τὸ Ο πρὸ τοῦ Β ψιλοῦται. οἷον ὀβολός. ὀβελός. ὀβελίσκος. Ὄβριμος, ὁ ἰσχυρός. Ὀβότας, κύριον. Ὀβάρης, ὁ πέρσης. καὶ τὰ ὅμοια.

Τὸ Ο πρὸ τοῦ Γ ψιλοῦται. οἷον Ὄγμος, ἡ τάξις. ὄγκος. ὄγδοος. ὀγδοήκοντα. Ὄγμιος, ἐπίθετον τοῦ Ἡρακλέος. καὶ τὰ λοιπά.

Τὸ Ο πρὸ τοῦ Δ ψιλοῦται. οἷον ὀδύνη. ὀδοὺς, ὀδόντος. Ὀδὰξ, ἀντὶ τοῦ μετὰ τῶν ὀδόντων. ὀδωδώς. καὶ τὰ λοιπά. πλὴν τοῦ ὁδός. καὶ τῶν ἐξ αὐτοῦ. ὁδεύω, ὁδίτης, ὁδοιπόρος, Ὁδοιδόκος, ὁ λῃστής. σὺν τούτοις καὶ Ὁδὶ ἀντὶ τοῦ οὗτος, καὶ ὁ δεῖνα. τὸ μέντοι Ὀδυσσεὺς οἱ μετὰ δι' ἑνὸς σ γράφοντες δασύνουσιν αὐτό· ἐτυμολογοῦντες παρὰ τὸν ὁδὸν καὶ τὸ ὕω τὸ βρέχω. Ἱστόρηται γὰρ ὅτι ἡ μήτηρ Ἀντίκλεια πρὸς γάμον δοθεῖσα τῷ Λαέρτῃ ἐγέννησεν αὐτὸν καθ' ὁδὸν ὑετοῦ γενομένου. διὸ καὶ Ὀδυσσεὺς ἐκλήθη. Οἱ δὲ ψιλοῦσιν, ἐτυμολογοῦντες ἀπὸ τοῦ Ὀδύσσω, τὸ ὀργίζομαι. ὀργίλῳ γὰρ ἐῴκει, ὅτε δημηγόρει. καθὰ δηλοῖ καὶ Ὅμηρος λέγων περὶ αὐτοῦ,

Φαίης κεν ζάκοτόν τέ τιν' ἔμμεναι ἄφρονά τ' αὔτως.

φαίνονται οὖν καὶ ἀμφότεραι αἱ ἐτυμολογίαι ἀρεσταὶ, εὕρηται δὲ παρ' Ὁμήρῳ ψιλούμενον καὶ δι' ἑνὸς σ γραφόμενον διὰ τὸ μετρούμενον, ὡς ἐν τῷ,

Εὗρεν ἔπειτ' Ὀδυσῆα Διὶ μῆτιν ἀτάλαντον.

καὶ ἐν ἄλλοις πολλοῖς. εἰ δὲ καὶ παρὰ τὴν ὁδὸν ἐτυμολογεῖται. οὐδὲν καθέστηκεν ἄπορον, πῶς οὐ δασύνεται. εἴρηται γὰρ ὡς αἱ παραγωγαὶ πολλάκις εἰώθασιν ἀμείβειν τὰ πνεύματα. ἅμα, ἄμυδις. ἰδίω, ἱδρώς. οὕτως καὶ ὁδὸς, Ὀδυσσεύς.

Τὸ Ο πρὸ τοῦ Ε ψιλοῦται. Ὀεργίλος, κύριον. Ὀετὴς, ὁ ὁμοετὴς, κατὰ συγκοπήν. ὡς καὶ Ὄπατρος, ὁ ὁμόπατρος.

Τὸ Ο πρὸ τοῦ Ζ ψιλοῦται. Ὄζος, ὁ κλάδος. ὄζω, ῥῆμα. καὶ τὰ λοιπά.

Τὸ Ο πρὸ τοῦ Θ ψιλοῦται. οἷον ὀθόνη. Ὀθνεῖος, ὁ ξένος. Ὄθων, κύριον. Ὄθομαι, τὸ ἐπιστροφὴν ποιοῦμαι. ὡς τὸ,

Οὐ δ' ὄθομαι κοτέοντος.

πλὴν τοῦ Ὅθι, ἀντὶ τοῦ ὅπου. καὶ ὅθεν.

Τὸ Ο πρὸ τοῦ Ι ψιλοῦται. οἰστός. Ὀΐω, τὸ ὑπολαμβάνω. καὶ τὰ λοιπά.

Τὸ Ο πρὸ τοῦ Κ ψιλοῦται. οἷον ὄκνος. ὀκλάζω. ὀκρίβας. Ὀκριόεις, ὁ φρικώδης καὶ ὁ ταχύς. Ὀκέλλω, τὸ προσορμίζω τὴν ναῦν. καὶ τὰ λοιπά. πλὴν τῶν κατὰ τροπὴν τοῦ Π εἰς Κ γινομένων κατὰ διάλεκτον Ἰωνικήν. οἷον Ὁκόσον, ἀντὶ τοῦ ὁπόσον. Ὁκοῖος, ἀντὶ τοῦ ὁποῖος. Ὅκως, ἀντὶ τοῦ ὅπως. καὶ τῶν ὁμοίων.

Τὸ Ο πρὸ τοῦ Λ ἢ ἑνὸς ἢ δισσοῦ ψιλοῦται, συμφώνου ἐπαγομένου ἢ φωνήεντος. ὄλεθρος. ὄλυμπος. ὄλισθος. Ὄλορος, κύριον. ὀλίγος. ὀλλύω. ὄλλω. Ὀλοοίτροχος, ὁ στρογγύλος λίθος. Ὄλβος, ὁ πλοῦτος. Ὀλμειὸς, ποταμός. Ὄλπη, ἡ λήκυθος, ὅ ἐστι τὸ ἐλαιδόχον ἀγγεῖον, ἐλαιόσπη τὶς οὖσα. πλὴν τοῦ ὅλος. Ὅλμος, ἡ ἴγδη. Ὁλκος, τὸ σῶμα τοῦ ὄφεως, καὶ πᾶν ἐπίμηκες σῶμα, καὶ ὁ λιμὴν ἐν ᾧ αἱ ὁλκάδες ἵστανται. Ὁλκὰς, ἡ ναῦς. Ὁλκὴ, τὸ βάρος. ὅλως, ἐπίῤῥημα. ὁλικῶς. ὁλότης. καὶ τῶν ἀπὸ τοῦ ὅλος.

Τὸ Ο πρὸ τοῦ Μ, ἑνὸς ἢ δισσοῦ, φωνήεντος ἢ συμφώνου ἐπαγομένου, ψιλοῦται. οἷον Ὀμῶ, τὸ ὀμνύω. Ὀμιχῶ, τὸ οὐρέω. ὀμίχλη. ὄμμα. ὀμματῶ. ὄμβρος. Ὄμφαξ, ἡ ὠμὴ σταφυλή. Ὀμόργνυσιν, ἀντὶ τοῦ ἀπομάσσει, καὶ ἀποσπογγίζει. πλὴν τοῦ ὁμοῦ, καὶ τῶν ἐξ αὐτοῦ. οἷον ὅμαιμον. Ὅμορος, ὁ γείτων. ὁμευνέτης. ὁμῆλιξ. ὅμηρος. ὁμώνυμος. ὅμιλος. ὁμιλία. ὅμοιος. Ὁμοκλὴ, ἡ ἀπειλή. καὶ ὁμαλός.

Τὸ Ο πρὸ τοῦ Ν, ἐν ταῖς ὑπὲρ μίαν συλλαβὴν λέξεσι, φωνήεντος ἢ συμφώνου ἐπαγομένου, ψιλοῦται. οἷον ὄναρ. ὄνυξ. Ὄνθος, ἡ τῶν βοῶν κόπρος. ὄνειρος. Ὀνείατα, τὰ βρώματα. καὶ Ὅμηρος,

Οἳ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον.

πρόσκειται ἐν ταῖς ὑπὲρ μίαν συλλαβὴν λέξεσι. διὰ τὸ Ὃν, τὸ ἴδιον. καὶ Ὃν, ἀντὶ τοῦ ὅντινα, ἄρθρον ὑποτακτικὸν πτώσεως αἰτιατικῆς τῶν ἑνικῶν. Ὂν δὲ, τὸ ὑπάρχον, ψιλοῦται, Ἐὸν γὰρ ἦν. καὶ ἀφαιρέσει τοῦ ε γέγονεν ὄν.

Τὸ Ο πρὸ τοῦ Ξ ψιλοῦται. οἷον ὄξος. ὀξύς. Ὀξύη, εἶδος δένδρου. Ὀξυόεν δόρυ, τὸ ταχὺ, ἢ τὸ ἐστομωμένον, ἢ τὸ ἀπὸ ὀξύης δένδρου κατεσκευασμένον. (ὡς καὶ Μείλινον, τὸ ἀπὸ μελίας· καὶ Οἰσύϊνον, τὸ ἀπὸ οἰσύας.) τινὲς δὲ τὸ καλῶς ἐξεσμένον ἀποδεδώκασιν. ἀπὸ γὰρ τοῦ ξύω γίνεται ξυόεν, καὶ πλεονασμῷ τοῦ Ο ὀξυόεν.

Τὸ Ο πρὸ τοῦ Π ψιλοῦται. οἷον ὀπίσω. Ὀπὴ, ἡ τρύπα. ὀπώρα. καὶ Ὀπωρινὸς, καιρὸς, καὶ βοῤῥᾶς.

Ὡς δ' ὅτ' ὀπωρινὸς βορέης νεαρδὲ' ἀλωὴν
Αἶψα ξηραίνει.

Ὀπαδὸς, καὶ Ὀπάων, ὁ ἀκόλουθος. πλὴν τῶν ἐχόντων τῷ Π ἐπαγόμενον τὸ Λ, οἷον ὅπλον. ὁπλίζω. Ὁπλὴ, ὁ ὄνυξ. καὶ τῶν ἀναφορικῶν. οἷον ὅποι, καὶ ὅπου. ὁπόθεν. ὁπόθι. ὁπότε. ὁποῖος. ὁπόσος. ὁπότερος. ὅπως. ὁπωσοῦν καὶ ὁποσονοῦν.

Τὸ Ο πρὸ τοῦ Ρ, φωνήεντος ἢ συμφώνου ἐπαγομένου, ἢ τοῦ Ρ αὐτοῦ, ψιλοῦται. οἷον ὀρεύς. ὀρέγω. ὀρέστης. Ὄρος, ὁ βουνός. ὀργίζομαι. Ὀῤῥὸς, τὸ γάλα. Ὀῤῥωδῶ, τὸ δειλιῶ. ὀρχοῦμαι. ὀρθός. Ὄρπηξ, ὁ κλάδος. ὀρφεύς. καὶ τὰ λοιπά. πλὴν τοῦ Ὁρῶ, τὸ βλέπω. ὅρος, ἀρσενικόν. καὶ τῶν ἐξ αὐτοῦ. οἷον ὁρίζω. ὁρισμός. ὁριστικόν. Ὅριον, τὸ ὁροθέσιον. καὶ πλὴν τῶν ἐχόντων τὸ Κ ἢ τὸ Μ ἐπαγόμενον. οἷον Ὅρμος, ὁ λιμήν. ἀφ' οὗ καὶ Ὁρμίζω, τὸ ἐλλιμενίζω. ὁρμαθός. ὁρμῶ. ὁρμῶμαι. ὁρμώμενος. Ὄρμειος δὲ, ὁ διεγερθεὶς, ὡς ἀπὸ τοῦ ὄῤῥω, ψιλοῦται. ὅρκος. ὁρκίζω. τὸ Ὄργιον, τὸ μυστήριον, δασυνόμενον εὗρον ἔν τε τοῖς Θεοδωρίτου, καὶ ἐν ἑτέροις, καίπερ ἐν τῇ συνηθείᾳ ψιλούμενον. τὸ δὲ Ὄρπηξ ἐν πολλοῖς ψιλούμενον. ἀπὸ γὰρ τοῦ ὀρούειν εἰς ὕψος, ψιλοῦσιν, ἀπὸ δὲ τοῦ ἕρπειν δασύνουσι τινές. Ὀρμαθὸς παρά τισι ψιλοῦται.

Τὸ Ο πρὸ τοῦ Σ, ἑτέρου συμφώνου ἢ αὐτοῦ τοῦ Σ ἐπαγομένου, ἐν ταῖς ὑπὲρ μίαν συλλαβὴν λέξεσι, ψιλοῦται. οἷον ὄστρεον. ὄστρακον. ὀστοῦν. Ὀσφὺς, ὁ περὶ τοὺς νεφροὺς τόπος. ἀφ' οὗ καὶ Ὀσφυὴξ, ὁ κεκλασμένος καὶ ἀσθενὴς τὴν ὀσφύν. ἐκ τοῦ Ἄγω, ἄξω, ὁ δηλοῖ τὸ κλῶ. ὡς τὸ, γέροντος ὀσφυῆγος. Ὀστία, ἡ θύρα παρὰ Ῥωμαίοις. καὶ Ὀστιάριος, ὁ θυρωρός. Ὄσσα, ἡ φήμη, καὶ ἡ μαντεία, καὶ ὄνομα ὄρους. Ὄσσω, τὸ βλέπω. ἀφ' οὗ καὶ Ὄσσε, τὼ ὀφθαλμὼ, δυικῶς. ὄσφρησις καὶ τὰ λοιπά. πρόσκειται ἐν ταῖς ὑπὲρ μίαν συλλαβὴν λέξεσι. διὰ τὸ Ὃς, ὁ ἴδιος. Ὅς, ἀντὶ τοῦ οὗτος. καὶ Ὃς ἀντὶ τοῦ ὅστις. φωνήεντος δὲ ἐπαγομένου δασύνεται. οἷον ὅσιος. ὁσιῶ. ὅσος. ὅσον. καὶ Ὁσία, ἡ ταφή. τὸ μέντοι Ὄσιρις, κύριον, φωνήεντος ἐπαγομένου, ψιλοῦται.

Τὸ Ο πρὸ τοῦ Τ ψιλοῦται. οἷον Ὄτλος, ἡ κακοπάθεια. καὶ Ὀτλῆσαι, τὸ κακοπαθῆσαι. Ὀττοτοῖ, (γρ. θρηνητικὸν) ἀντὶ τοῦ φεῦ. Ὀτρηρὸς, ὁ σπουδαῖος. Ὀττεία, ἡ μαντεία. καὶ τὰ λοιπά. πλὴν τοῦ ὅτε. ὅτι. ὅταν. Ὅτῳ, ἀντὶ τοῦ ᾧτινι. Ὁτέοισιν, ἀντὶ τοῦ οἷστισι. καὶ ὅ τε, ἀντὶ τοῦ ὅπερ παρ' Ὁμήρῳ, ὡς τὸ,

Ἀλκὴν δ' οὔτοι δῶκεν, ὅ, τε κράτος ἐστὶ μέγιστον.

Τὸ Ο πρὸ τοῦ Φ ψιλοῦται. ὄφις. Ὀφνεὶ, κύριον. ὄφελος. Ὀφειλὴ, τὸ χρέος. ὀφλισκάνω. ὀφρύς. Ὄφρα, ἀντὶ τοῦ ὅπως, ὅπερ, ἀπὸ τοῦ τόφρα κατὰ ἀφαίρεσιν γινόμενον τοῦ ψιλοῦ τ ὤφειλε δασύνεσθαι. ἀλλ' ὅμως ψιλοῦται. διὰ τὸν λέγοντα κανόνα. τὸ Ε Ο πρὸ δασέος ψιλοῦται. ὄφις. ἔθνος. ἔφεσις. Ὄφελον, ἀντὶ τοῦ εἴθε. ὡς τὸ, ὄφελον κατευθυνθείησαν αἱ ὁδοί μου. Ὀφφίκιον, παρὰ Ῥωμαίοις, ἁπλῶς πᾶσα ὑπηρεσία.

Τὸ Ο πρὸ τοῦ Χ ψιλοῦται. Ὄχος, τὸ ἅρμα. ὀχεύς. ὄχανον. ὀχετός. ὀχυρός. ὄχλος. ὀχληρός. Ὄχα, ἀντὶ τοῦ ἐξόχως καὶ τὰ λοιπά.

Τὸ Ο πρὸ τοῦ Ψ ψιλοῦται. ὄψις. ὀψία. ὀψέ. ὄψον. ὀψώνιον. ὀψοφάγος. ὀψάριον.

Καθολικοὶ κανόνες περὶ πνεύματος τοῦ Ο.

Τὸ Ο πλεονάζον ἐν ταῖς ἀπὸ συμφώνων ἀρχομέναις λέξεσι ψιλοῦται. βριμῶ, ὄβριμος. βέλος, ὀβελός. σταφὶς, ὀσταφίς. κρυόεις, ὀκρυόεις.

Τὸ Ο πρὸ τοῦ Α. Β. Γ. ψιλοῦται ἀεὶ, καὶ πρὸ τοῦ Ε. Ζ. Κ. Θ. Ι. πλὴν μόνων τοῦ ὅθι, καὶ ὅθεν. ὡσαύτως καὶ πρὸ τοῦ Γ. Ξ. καὶ Φ. Χ. Ψ.

Τὸ Ο πρὸ τοῦ Ρ δασυνόμενον, ὅτε προσλάβῃ τὸ Υ, ψιλοῦται. οἷον ὅρος, οὖρος.

Υ.

Τὸ Υ πάσης λέξεως ἄρχον δασύνεται. οἷον ὑάκινθος. ὑβός. ὑγεία. ὕδωρ. ὕελλος. ὕθλος. ὕλη. ὑμέτερος. ὕννις. ὑπήνη. ὑρκανία, Ὗς, ὁ χοῖρος. ὕφος. ὕψος. υἱός. υἱωνός. πλὴν τοῦ Υ̓́μμες, ἀντὶ τοῦ ὑμεῖς, Αἰολικῶς. ἀλλὰ διὰ τὸν ἄνω ῥηθέντα κανόνα ὁ Τυραννίων παρὰ τῷ ποιητῇ ἐδάσυνε τὸ ὕμμες. καὶ Ὕρχας, τὸ ταριχηρὸν ἀγγεῖον.

Ω.

Τὸ Ω ἐν ταῖς ὑπὲρ μίαν συλλαβὴν λέξεσι ψιλοῦται. οἷον ὧδε καὶ ὡδὶ, ἀντὶ τοῦ ἐνταῦθα. ὦχρος, καὶ ὠχρός. ὠχρότης. Ὦσχος, ὁ κλάδος. Ὠμὸς, ὁ ἀπηνής. Ὦμος, ἡ ῥάχις. Ὦτος, κύριον. Ὠστὸς, ὁ ἀποδεδιωγμένος. Ὦρος καὶ Ὠρίων, κύρια. πλὴν τοῦ Ὥρα, ὁ καιρὸς καὶ τῶν παρ' αὐτοῦ Ὧρος, ὁ χρόνος. ὥριμος. Ὥρα, ἡ εὐμορφία. καὶ τῶν ἐξ αὐτοῦ. ὡραῖος. ὡραΐζω. Ὡρακίζω, τὸ ὠχριῶ. καὶ ὡρακιῶ, τὸ αὐτό. Ὡρικὸς βοῦς, ὁ ὡραῖος. καὶ τῶν παρὰ τὸ Ὤρα, ἡ φροντίς. Ὠρῶ, τὸ φυλάσσω. ὠρεῖον. Ὧδε, ἀντὶ τοῦ κατὰ τοιοῦτον τὸν τρόπον. καὶ Ὡδὶ, τὸ αὐτό. πρόσκειται ἐν ταῖς ὑπὲρ μίαν συλλαβὴν λέξεσι. διὰ τὸ ᾧ, ἀντὶ τοῦ ᾧτινι, ὑποτακτικὸν ἄρθρον πτώσεως δοτικῆς τῶν ἑνικῶν. καὶ ᾧ, τῷ ἰδίῳ. ὧν, ἀντὶ τοῦ ὧντινων, ἐπὶ γενικῆς τῶν πληθυντικῶν. καὶ ὧν, τῶν ἰδίων. τὸ μέντοι Ὦ, σχετλιαστικὸν ἐπίῤῥημα, καὶ ὦ τῆς κλητικῆς, καὶ ὦ ῥῆμα ὑποτακτικὸν, ἀντὶ τοῦ ὑπάρχω. καὶ ὢν, ὁ ὑπάρχων, ψιλοῦται.

Καθολικοὶ κανόνες περὶ πνευμάτων.

Πᾶν φωνῆεν εἰς Ρ λῆγον, ἐπιφερομένου συμφώνου δασέος, ψιλοῦται. οἷον ἀρχή. ἔρχομαι. ὀρφανός. ὀρθός. καὶ τὰ ὅμοια. διὸ καὶ οἱ Αἰολεῖς, ὡς εἴρηται, τὸ Ὕρχας ψιλοῦσιν.

Πᾶν φωνῆεν πρὸ δασέος ψιλοῦται. ὄφις. ἔθνος. ἔφεσις. ἰχνός. ἦχος. ἦθος. πλὴν τοῦ ἀφή. ὅθεν καὶ Ἥφαιστος, τὸ πῦρ, ἀλληγορικῶς, ἀπὸ τοῦ τὴν ἀφὴν αἴθειν. τὸ δὲ Ἧχι, ἀντὶ τοῦ ὅπου, κατ' ἐπέκτασίν ἐστι τῆς χι συλλαβῆς.

ΠΕΡΙ ΥΠΑΡΚΤΙΚΩΝ ΡΗΜΑΤΩΝ.

Τὰ ὑπαρκτικὰ ῥήματα ψιλοῦνται. οἷον Εἰμὶ, τὸ ὑπάρχω. Ἦν, ἀντὶ τοῦ ὑπῆρχε. τρίτον πρόσωπον. καὶ Ἦν, ἀντὶ τοῦ ὑπῆρχον ἐγώ. ὡς τὸ παρ' Εὐριπίδῃ,

Νεώτατος δ' ἦν Πριαμιδῶν.

λέγει δὲ περὶ ἑαυτοῦ τοῦτο ὁ Πολύδωρος. Εἴην, ἀντὶ τοῦ ὑπάρχοιμι, εὐκτικὸν, ἐὰν ὦ ὑποτακτικὸν, καὶ πάντα τὰ πρόσωπα, τούτου καὶ αἱ μετοχαὶ, ὢν, οὖσα, ὄν.

ΠΕΡΙ ΑΡΘΡΩΝ.

Πᾶν ἄρθρον προτακτικὸν, ἢ ὑποτακτικὸν, ἀπὸ φωνήεντος ἀρχόμενον, δασύνεται. προτακτικὸν μὲν οἷον, ὁ, οἱ, ἡ, αἱ, ὑποτακτικὸν δὲ ὃς, ἀντὶ τοῦ ὅστις. οὗ, ᾧ, ὅν. δυϊκὰ, ὥ, οἷν. πληθυντικὰ, οἵ, ὧν, οἷς, οὕς. θηλυκὰ ἥ, ἀντὶ τοῦ ἥτις. ἧς, ᾗ, ἥν. δυϊκὰ, ἅ, αἷν. πληθυντικὰ, αἵ, ὧν, αἷς, ἅς. οὐδέτερα ὅ, οὗ, ᾧ, ὅ. δυϊκὰ, ὥ, οἷν. πληθυντικὰ, ἅ, ὧν, οἷς, ἅ. τὸ δὲ ὦ τῆς κλητικῆς ψιλούμενον, πολλαχῶς ἐλέγχεται μὴ εἶναι ἄρθρον, ἀλλὰ κλητικὸν ἐπίῤῥημα. πρῶτον μετὰ, ὅτι πᾶν ἄρθρον ἀπὸ φωνήεντος ἀρχόμενον δασύνεσθαι θέλει. τοῦτο δὲ ψιλοῦται. δεύτερον, ὅτι πᾶν ἄρθρον προτακτικὸν ἢ πνεῦμα ἢ τόνον ἐπιδέχεται. τοῦτο δὲ, καὶ ἀμφότερα. τρίτον, ὅτι πᾶν ἄρθρον διαλλάττειν θέλει ἐν τοῖς τρισὶ γένεσι καὶ ἐν τοῖς τρισὶν ἀριθμοῖς· ἐν μέντοι τρισὶ γένεσιν. οἷον, ὁ αἴας, ἡ μοῦσα, τὸ βῆμα. ἐν δὲ τοῖς τρισὶν ἀριθμοῖς. οἷον ὁ αἴας, τὼ αἴαντε, οἱ αἴαντες, ἡ μοῦσα, τὰ μούσα, αἱ μοῦσαι. τὸ βῆμα, τὼ βήματε, τὰ βήματα. τοῦτο δὲ οὐ διαλλάσσουσιν, οὔτε ἐν τοῖς τρισὶ γένεσι, οὔτε ἐν τοῖς τρισὶν ἀριθμοῖς. τέταρτον, ὅτι πᾶν ἄρθρον πρώτου προσώπου θέλει εἶναι ἢ τρίτου, οὐχὶ δευτέρου· τοῦτο δὲ δευτέρου προσώπου ἐστί. πέμπτον, ὅτι πᾶν ἄρθρον φανερὸν θέλει σημαίνειν καὶ πρόδηλον ἀριθμόν. ἕκτον, ὅτι οὐ φυλάττει τὸν κανόνα τὸν λέγοντα, πᾶσα κλητικὴ τὸν ἴσον χρόνον θέλει ἔχειν τῆς ἰδίας εὐθείας, ἢ ἐλάττονα. οὐδέποτε δὲ μείζονα· τοῦτο γὰρ μεῖζόν ἐστι τῆς ἰδίας εὐθείας.

ΠΕΡΙ ΑΝΤΩΝΥΜΙΩΝ.

Τὸ ἐν ἀντωνυμίαις Ε ψιλοῦται. οἷον ἐγὼ, ἐκεῖνος, ἐμὸς, ἐμοὶ, καὶ τὰ λοιπά. πλὴν τοῦ ἕ, ἀφ' οὗ καὶ τὸ ἑαυτὸν, καὶ τὸ ἕθεν καθ' Ὅμηρον,

Πρόσθεν ἕθεν φεύγοντα.

ΠΕΡΙ ΠΡΟΘΕΣΕΩΝ.

Πᾶσα πρόθεσις ἀπὸ φωνήεντος ἀρχομένη ψιλοῦται. οἷον ἀνὰ, ἀμφὶ, ἀντὶ, ἀπὸ, ἐπὶ, ἐν, εἰς, ἐξ, ἥτις καὶ ἐκ λέγεται. καὶ ὅτε μὲν ἐπάγεται φωνῆεν, φυλάττει τὸ Ξ. οἷον ἐξ οὐρανοῦ· ἐξ ὕψους. ἐξ ᾅδου. ὅτε δὲ σύμφωνον ἐπάγεται, ἐκφέρεται διὰ μόνου τοῦ Κ διὰ τὴν εὐφωνίαν. οἷον ἐκ τῶν οὐρανῶν, ἐκ ῥώμης, ἐκ τῆς γῆς, ἐκ θαλάττης, καὶ τῶν ὁμοίων. πλὴν τῆς ὑπὸ καὶ ὑπέρ.

ΠΕΡΙ ΣΥΝΔΕΣΜΩΝ.

Πᾶς σύνδεσμος ἀπὸ φωνήεντος ἀρχόμενος ψιλοῦται. οἷον ἀλλά. ἐάν. εἰ, ἀντὶ τοῦ ἐάν. καὶ ἢ διαζευκτικὸν, διὰ τοῦ η, καὶ ἤτοι. πλὴν τῶν αἰτιολογικῶν. οὗτοι γὰρ δασύνονται. ἵνα, ὅπως, ὅτι, ἕνεκα. τὸ μέντοι ὄφρα ψιλοῦται καὶ τοῦτο κατὰ ἀποβολὴν τοῦ τ γινόμενον. ἔστι γὰρ κανὼν ὁ λέγων, τὰ κατὰ ἀποβολὴν ψιλοῦ δασύνονται. οἷον τόσος, ὅσος. τοῖος, οἷος. ποτὲ, ὁτέ. τότε, ὅτε. πηνίκα, ἡνίκα. καὶ τὰ ὑποτακτικὰ ἄρθρα ἀπὸ τῶν προτακτικῶν κατὰ ἀποβολὴν τοῦ Τ. περὶ ὧν εὑρήκαμεν πλὴν τοῦ τόφρα, ὄφρα. ὡς καὶ Ὅμηρος.

Τόφρα γοῦν ἐς στρατὸν εἶμι διαμπερές.

καὶ τῆμος, ἦμος. ψιλοῦται δὲ τὸ μὲν ἦμος, διὰ τὸν λέγοντα κανόνα, τὸ Η ἐν τροχαϊκῇ λέξει ψιλοῦται. ἦχος, ἦδος. ἦθος. πλὴν τοῦ ἧπαρ, καὶ ἧλος. τὸ δὲ ὄφρα διὰ τὸν λέγοντα κανόνα, ὅτι τὸ ε ο πρὸ δασέος ὄντα ψιλοῦται. ὄφις. ἔθνος. ἔφεσις. ὄφρα. ἔχις. Ὄχος, τὸ ἅρμα. ὀθόνη.

ΠΕΡΙ ΑΡΙΘΜΩΝ.

Τὸ Ε τῶν ἀριθμῶν, δασύνεται. ἕν, ἀπὸ τοῦ εἷς, ἑνὸς γινόμενον, ἓξ, ἑπτὰ, ἑβδομήκοντα, ἑκατόν. καὶ τὰ λοιπά. πλὴν τοῦ ἐννέα, εἴκοσι, καὶ ἐνενήκοντα. καὶ, καθόλου εἰπεῖν, πᾶς ἀριθμὸς, ἀπὸ φωνήεντος ἀρχόμενος, δασύνεται. πλὴν τῶν ῥηθέντων. καὶ τῶν ὀκτὼ καὶ τοῦ ὀγδοήκοντα.

ΠΕΡΙ ΠΝΕΥΜΑΤΩΝ ΤΩΝ ΕΞ ΔΙΦΘΟΓΓΩΝ.

Ἡ αι δίφθογγος ἐν ταῖς ὑπὲρ μίαν συλλαβὴν λέξεσι ψιλοῦται. οἷον αἰκίζω. αἰδοῦμαι, αἰζηός. αἰλιανός. Αἴλουρος, ζῶον. αἰάζω. Αἴρω, τὸ ἐπαίρω. καὶ τὰ λοιπά. εἰ μὴ τὸ Μ ἐπάγοιτο. οἷον αἷμα. Αἱμύλος, ὁ πανοῦργος, καὶ δόλιος. Αἷμος, ὄρος. πλὴν τοῦ Αἴμων, ὁ ἐπιστήμων. σημείωσαι τὸ Αἱρῶ, τὸ κρατῶ. Αἱροῦμαι, τὸ βούλομαι. ὑπὲρ μίαν ὄντα συλλαβὴν καὶ δασυνόμενα. εἴρηται δὲ ἐν ταῖς ὑπὲρ μίαν συλλαβὴν λέξεσι, διὰ τὰ ἄρθρα τὰ ὑποτακτικὰ, οἷον αἳ, ἀντὶ τοῦ αἵτινες. αἷν, δυϊκόν. καὶ αἷς, ἀντὶ τοῦ αἷστισι, σημείωσαι τὸ Αἶ, ἀντὶ τοῦ φεῦ, ψιλούμενον.

Ἡ αυ δίφθογγος ψιλοῦται. αὔξω. αὐδῶ. αὐτός. αὔριον. αὐτή. πλὴν τοῦ αὕτη, βαρύτονον, ὡς ἀπὸ τοῦ οὗτος. καὶ αὑτὸν, ἀντὶ τοῦ ἑαυτόν.

Ἡ ει δίφθογγος ψιλοῦται. οἷον. εἶδος. εἰκάζω. Εἴρω, τὸ πλέκω. εἴργω. εἴδω. Εἴρων, ὁ κόλαξ. εἴλη. καὶ τὰ ἐξ αὐτοῦ εἰληθενοῦμαι. εἰλεός. εἰλικρίνεια. πλὴν τοῦ Εἵλως, ὁ δοῦλος. Εἱλωτεύω, τὸ δουλεύω. καὶ Εἱλωτεία, ἡ δουλεία. εἱλίσσω. εἱλόμην, ἀπὸ κλίσεως. Εἰκὼν, ὁ πέμψας. εἱμαρμένη. Εἷμα, τὸ ἱμάτιον. καὶ Εἱμένος, ὁ ἐνδεδυμένος. εἷς, εἷνα, τὸν ἕνα. καὶ εἷο ἀντὶ τοῦ αὐτοῦ. Εἵπετο, ἀπὸ κλίσεως, ἀντὶ τοῦ ἠκολούθει. Εἷσεν, ἀντὶ τοῦ ἐκάθισε, καὶ ἔκτισεν. εἱστήκει. Εἵατο, ἀντὶ τοῦ ἐκάθηντο. καὶ Εἵαται. ἀντὶ τοῦ κάθηνται, ποιητικῶς. καὶ εἵως, ἀντὶ τοῦ ἕως. ταῦτα δὲ πάντα, ἀπὸ πλεονασμοῦ ἔχουσι τὸ Ι ἐκτὸς τοῦ εἷς. σημείωσαι δὲ, ὅτι τὸ εἱρμὸς καὶ εἱρκτὴ, κἂν τὸ μὲν, ἀπὸ τοῦ Εἴρω, τὸ συμπλέκω· τὸ δὲ, ἀπὸ τοῦ Εἴργω, τὸ κωλύω, γίνονται, δασύνονται. ἐῤῥέθη γὰρ, ὡς αἱ παραγωγαὶ πολλάκις ἀμείβουσι τὰ πνεύματα. οἷον ἅμα, ἄμυδις. ἰδίω, ἵδρως. ὁδὸς, ὀδυσσεύς. οὕτως οὖν καὶ εἴρω, εἱρμός. καὶ εἴργω, εἱρκτή.

Ἡ ευ δίφθογγος ψιλοῦται. εὐχή. Εὐλὴ, ἡ βδέλλα. εὐδία. εὐθύς. εὐθεῖα. εὐτυχής. πλὴν τοῦ Εὕδω, τὸ καθεύδω. Εὕω, τὸ φωτίζω, καὶ φλογίζω. εὕρω, καὶ τῶν ἐξ αὐτοῦ, εὑρίσκω, εὕρεσις, εὕρεμα, εὑρεσιλόγος. Εὗ, ἀντὶ τοῦ ἑαυτοῦ, ἀπὸ τοῦ εο κατὰ κρᾶσιν Δωρικῶς τοῦ εο εἰς τὴν ευ δίφθογγον. ὡς τὸ ἐμέο, ἐμεῦ. καὶ σέο, σεῦ. καὶ Ὅμηρος,

Τῶν δ' ἄλλων οὔτις εὖ ἀκήδεσεν.

Ἡ οι δίφθογγος ἐν ταῖς ὑπὲρ μίαν συλλαβὴν λέξεσι ψιλοῦται. οἶκος οἶστρος. Οἰδῶ, τὸ ἐξογκῶ. Οἶδμα, τὸ κῦμα. οἴδημα. Οἴγω, τὸ ἀνοίγω. Οἰνεὺς, κύριον. οἶνος. Οἶος, ὁ μόνος. Οἴμη, ἡ ᾠδή. ὅθεν καὶ οἰμώζω. καὶ τὰ λοιπά. πλὴν τοῦ Οἷμος. ἡ ὁδός. Οἱμῶ, τὸ ὁρμῶ. Οἷος, ὁ ὁποῖος, καὶ Οἷος, ὁ δυνατός. εἴρηται ἐν ταῖς ὑπὲρ μίαν συλλαβὴν λέξεσι, διὰ τὸ οἷ, ἀντὶ τοῦ αὐτῷ, ἀντωνυμίαν. καὶ οἷ, ἀντὶ ὅπου. καὶ οἱ, ἄρθρον προτακτικὸν πληθυντικοῦ ἀριθμοῦ δασυνόμενον μόνον. βαρυνόμενον δὲ καὶ δασυνόμενον, ὑποτακτικὸν γίνεται. Οἷς δὲ, τὸ πρόβατον ψιλοῦται. ὡς ἀπὸ τοῦ ὄϊς γινόμενον κατὰ συναίρεσιν· τὸ οἰμώζω, δασυνόμενον εὗρον ἐν Σχεδευτοῦ Μουζάλωνος, γράφοντος οὕτως.

Εὖ θ' οἱμωζόντων ὀδυνηρόν.

τὸ Οἴμη, ἡ ᾠδὴ, τινὲς δασύνουσιν, ἀπὸ τοῦ ἐν Οἵμοις, ὅ ἐστιν, ἐν ὁδοῖς, ψάλλεσθαι. καὶ ὁ πτωχο Πρόδρομος·

Τέρπου θ' οἱμῶν τῶν καλῶν.

τὸ δὲ οἰμώζω ψιλοῦσιν ἐκ τοῦ οἴμοι.

Ἡ ου δίφθογγος ψιλοῦται. οἷον Οὐδὸς, ἡ φλιά. Οὖθαρ, ὁ μαστός. οὐλή. οὐλόθριξ. Οὖρος, ὁ ἐπιτήδειος καὶ φορὸς ἄνεμος. καὶ Ὅμηρος,

Τοῖσι δ' ἴκμενον οὖρον ἵει ἑκάεργος Ἀπόλλων.

καὶ Οὐρῆες, αἱ ἡμίονοι. καὶ τὰ λοιπά. πλὴν τοῦ οὗτος, οὕνεκα, οὗ, ἀντὶ τοῦ ὅπου. καὶ οὗ, ἀντὶ τοῦ οὕτινος. καὶ οὓς, ἀντὶ τοῦ οὕστινας, ἐπὶ αἰτιατικῆς τῶν πληθυντικῶν. Οὖς δὲ, τὸ ὠτίον. καὶ οὐ, τὸ ἀρνητικὸν μόριον, ψιλοῦται.

ΠΕΡΙ ΤΟΥ ΡΩ.

Τὸ ῥῶ πάσης λέξεως ἄρχον δασύνεται. οἷον ῥώμη. ῥωμύλος. ῥίπτω. ῥίζα. ῥέω. καὶ τὰ λοιπά. πλὴν τοῦ Ῥάριον, πεδίον. καὶ Ῥάρος, τὸ ἀμβλωθρίδιον βρέφος.

Τὸ ῥῶ ἐὰν δισσὸν γένηται ἐν μέσῃ λέξει, τὸ μὲν πρῶτον ψιλοῦται, τὸ δὲ δεύτερον δασύνεται, οἷον ἐπίῤῥημα. ἄῤῥωστος. συῤῥάπτω. καὶ τὰ λοιπά. ψιλοῦται δὲ τὸ μὲν πρῶτον, διότι οὐδέποτε συλλαβὴ Ἑλληνικῆς λέξεως εἰς δασὺ λήγει, τὸ δὲ δεύτερον δασύνεται, διότι φίλαρχός ἐστιν ἡ δασεῖα.

ΠΕΡΙ ΤΗΣ ΚΟΡΩΝΙΔΟΣ.

Ἰστέον ὅτι ἡ κορωνὶς, ὅτι οὐκ ἐν πάσαις τίθεται ταῖς κράσεσιν, ἀλλ' ὅτε ἐν ἁρμογῇ δύο λέξεων γένηται ἡ κρᾶσις. οἷον τὸ ἔργον, τοὔργον, τὸ ἔλαιον, τοὔλαιον. τὸ ἔπος, τοὔπος, καὶ ἐγὼ, κἀγώ. τὰ ἄλλα, τἄλλα. καὶ τὰ ὅμοια. ὅτε δὲ μὴ ἐν ἁρμογῇ λέξεων δύο γίνηται ἡ κρᾶσις, οὐ τίθεται ἡ κορωνίς. οἷον νόος, νοῦς. πλόος, πλοῦς.

Τάξις παλαιὰ καὶ ὀνομασίαι τῶν ἀρχόντων.

Καταλοχίσαι ἐστὶ τὸ εἰς λόχους καταμερίσαι τὸ πλῆθος τοῦ στρατοῦ. Λόχος, ἔνιοι μὲν, τὸ σύστημα τὸ ἐξ ἀνδρῶν ή. οἱ δὲ, τὸ ἐξ ἀνδρῶν ιβʹ. οἱ δὲ, τὸ ἀπὸ ἑκκαίδεκα ἀνδρῶν πλῆθος, ὃ καὶ τέλειον φασὶ καὶ σύμμετρον.

Λοχαγὸς, πρωτοστάτης καὶ ἡγεμὼν, ὁ αὐτός ἐστιν. ἔστι δὲ ὁ πρῶτος καὶ ἄριστος τοῦ λόχου.

Οὐραγὸς, ὁ τελευταῖος τοῦ λόχου.

Στίχος καὶ δεκανία καὶ λόχος, τὸ αὐτό ἐστιν. οἱ δὲ καὶ ἐνωμοτίαν αὐτὸ καλοῦσιν. οἱ δέ τὸ ϛʹ λέγουσι τοῦ λόχου τὴν ἐνωμοτίαν, οἱ δὲ τὸ δʹ.

Ἐνωμοτάρχης, ὁ τῆς ἐνωμοτίας ἄρχων.

Διμοιρίαν καὶ ἡμιλοχίαν τὸ αὐτό φασι· καὶ διμοιρίτης καὶ ἡμιλοχίτης, ὁ ἄρχων τῆς διμοιρίας καὶ ἡμιλοχίας.

Ἐπιστάτης, ὁ τοῦ λόχου ὀπίσω τεταγμένος. ὁ δὲ μετ' αὐτὸν, πρωτοστάτης. ὁ δὲ μετὰ τοῦτον πάλιν, ἐπιστάτης· ὡς εἶναι τὸν ὅλον στίχον ἐκ πρωτοστατῶν καὶ ἐπιστατῶν συγκείμενον, ἔνιοι δὲ λοχαγὸν μὲν τὸν πρωτοστάτην λέγουσιν, ὥσπερ καὶ οὗτοι. καὶ οὐραγὸν τὸν ἐπιστάτην· τοὺς ἐν μέσῳ δὲ, οὐχ ὡσαύτως. ἀλλ' ἐπιστάτην μὲν, τὸν μετὰ τὸν πρωτοστάτην, ἤτοι δεύτερον· τὸν δὲ τρίτον ἀπὸ τοῦ πρωτοστάτου, ὑποστάτην.

Συλλοχισμὸς ἐστιν, ὅταν τῷ πρώτῳ λόχῳ ἕτερος λόχος ἐπιτιθῇ, ὥστε λοχαγὸν λοχαγῷ, καὶ οὐραγὸν οὐραγῷ, καὶ τοὺς μεταξὺ τοῖς ὁμοζύγοις παρίστασθαι.

Παραστάται, οἱ ὁμόλοχοι, ἀνδρῶν ξδʹ. καὶ ὁ ἡγούμενος, τετράρχης.

Τάξεις, αἱ δύο τετραρχίαι, ἀνδρῶν ρκη̄. καὶ ὁ ἡγούμενος, πάλαι μὲν ταξίαρχος· νῦν δὲ, ἑκατοντάρχης.

Σύνταγμα, ὃ ἔνιοι παράταξιν, αἱ βʹ τάξεις, ἄνδρες σνϛ̄, καὶ ὁ ἡγούμενος, συνταγματάρχης, τοῦτο δὲ ἔνιοι καὶ ξεναγίαν καλοῦσι, καὶ ξεναγὸν τὸν ἡγούμενον.

Πεντακοσιαρχία, τὰ β̄ τάγματα, ἄνδρες φιβ. καὶ ὁ ἡγούμενος, πεντακοσιάρχης.

Ἔκτακτοι, τούτους τὸ μὲν παλαιὸν ἡ τάξις εἶχεν, ὡς καὶ τοὔνομα δηλοῖ, διότι τάξεως ἐξάριθμοι ἦσαν, εἰσὶ δὲ έ. στρατοκήρυξ, σαλπικτὴς, σημειοφόρος, ὑπηρέτης, οὐραγός. νῦν δὲ, καὶ τοῦ συντάγματος λέγονται καὶ τῶν ἄλλων. ἔχειν δὲ δεῖ τούτους τὴν τάξιν, ἢ τὸ σύνταγμα. τὸν μὲν, ὅπως τῇ φωνῇ σημαίνῃ τὸ πραττόμενον· τὸν δὲ, ὅπως τῷ σημείῳ, εἰ μὴ ἡ φωνὴ κατακούοιτο διὰ θόρυβον· τὸν δὲ σαλπιγκτὴν, ὁπότε μηδὲ σημεῖα βλέποιεν διὰ κονιορτόν. καὶ τὸν ὑπηρέτην, ὥστε τι τῶν εἰς τὴν χρείαν παρακομίσαι· τόνγε μὲν ἔκτακτον οὐραγὸν, πρὸς τὸ ἐπανάγειν τὸ ἀπολειπόμενον ἐπὶ τὴν τάξιν, ὃς, τῶν τεσσάρων ἄνω τυπουμένων κατὰ μέτωπον, κάτω τάσσεται.

Ξεναγία, αἱ βʹ πεντακοσιαρχίαι, ἀνδρῶν ακδʹ. οἱ δὲ πλεῖστοι τοῦτο τὸ πλῆθος χιλιαρχίαν καλοῦσι, καὶ χιλίαρχον, τὸν ἡγούμενον.

Μεραρχία, αἱ βʹ χιλιαρχίαι, ἀνδρῶν βμηʹ. οἱ δὲ καὶ τέλος ὀνομάζουσι, καὶ τὸν ἡγούμενον, μεράρχην· οἱ δὲ, τελάρχην.

Φαλαγγαρχία, αἱ βʹ μεραρχίαι. ἄνδρες δλϛʹ. τοῦτο ἔνιοι καὶ ἀποτομὴν κέρατος φασὶν, οἱ δὲ μέρος. πάλαι δὲ καὶ στρατηγία ἐκαλεῖτο, καὶ ὁ ἡγούμενος, στρατηγός. νῦν δὲ, φαλαγγάρχης.

Διφαλαγγία, αἱ βʹ φαλαγγαρχίαι, ἄνδρες η̄ρϟβʹ. τοῦτο δὲ καὶ μέρος ὑπ' ἐνίων καλεῖται· ἀλλὰ καὶ κέρας. καὶ ὁ ἡγούμενος, κεράρχης.

Φάλαγξ, ἡ τετραφαλαγγαρχία, αἱ βʹ φάλαγγες, ἄνδρες, ϛπ̄δ. τοῦτο γὰρ, ἡ τελεία καὶ εὔχρηστος φάλαγξ.

Μῆκος ἐστὶ φάλαγγος τὸ ᾱ ἐκ τῶν λόχων σύνταγμα, ὃ μίαν εὐθεῖαν τάσσεται, ἀπὸ κέρατος εἰς κέρας διατεῖνον. καλεῖται δὲ τοῦτο καὶ πρόσωπον, καὶ μέτωπον, καὶ στόμα, καὶ παράταξις, καὶ πρωτολοχία, καὶ πρωτοστάται. ὁ δὲ κατόπιν τούτου στίχος καὶ παράλληλος κείμενος, δεύτερον ζυγὸν καλεῖται. καὶ ὁ τρίτος, τρίτον ζυγὸν, καὶ ἑξῆς ὁμοίως.

Βάθος ἐστὶ φάλαγγος τὸ μετὰ τὸ μέτωπον ἅπαν· καὶ ὁ ἀπὸ λοχαγοῦ ἐπὶ οὐραγὸν στίχος, κατὰ βάθος λέγεται.

Ζυγεῖν ἐστι τὸ ἐπ' εὐθείας τῷ κατὰ μῆκος στίχῳ κεῖσθαι, ἤτοι παραλλήλως ἔχειν.

Στιχεῖν ἐστι τὸ ἐπ' εὐθείας κεῖσθαι τῷ κατὰ βάθος στίχῳ, τοῦτο γὰρ, καὶ κυρίως στίχος λέγεται.

Διχοτομία φάλαγγος, ἡ εἰς δύο ἴσα τομή. ταῦτα δὲ τὰ μέρη καλεῖται κέρατα. ὧν τὸ μὲν, εὐώνυμον κέρας λέγεται, καὶ οὐρά. τὸ δὲ λοιπὸν δεξιὸν, καὶ κεφαλή. καὶ δεξιὸν ἀκρωτήριον, καὶ δεξιὰ ἀρχή.

Ἄραρος καὶ ὀμφαλὸς καὶ συνοχὴ, πρᾶγμα ὡς ἔνιοι, καὶ στόμα, ὡς ἕτεροι, ἡ διχοτομία καλεῖται.

Ὁπλῖται, πελτασταὶ, ψιλοὶ, τῆς πεζικῆς εἰσι καὶ μαχίμου δυνάμεως. ἔχουσι δὲ διαφοράν. Ὁπλῖται μὲν γὰρ λέγονται οἱ βαρυτάτῃ κεχρημένοι ὁπλίσει, κατὰ τὸν μακεδονικὸν τρόπον, ἀσπίσι περιφερέσι καὶ δόρασι περιμηκεστέροις. Ψιλοὶ δὲ, οἱ κουφοτάτῃ. κέχρηνται γὰρ τόξῳ καὶ ἀκοντίοις καὶ λίθοις ἐκ σφενδόνης, ἢ ἐκ χειρός. οἱ δὲ πελτασταὶ μέσῃ πως κέχρηνται σκευῇ. ἡ γὰρ πέλτη μικρά τις ἐστὶν ἀσπιδίσκη, καὶ κούφη, καὶ τὰ δόρατα πολὺ τῶν ὁπλιτῶν λειπόμενα.

Εἰσὶ δὲ καὶ τῆς ὀχηματικῆς δυνάμεως τρεῖς διαφοραί. ἡ μὲν γάρ ἐστιν ἱππικὴ, ἡ δὲ, δι' ἁρμάτων, ἡ δὲ, δι' ἐλεφάντων. τοῦ δὲ ἱππικοῦ τὸ μὲν ἁπλῶς οὕτω καλεῖται, ἱππεῖς καὶ ἱππικόν. τὸ δὲ, ἄμφιππον, καὶ ἄμφιπποι μὲν, οἱ ἐπὶ δυοῖν ἀστρώτοιν ἵπποιν συνδεδεμένοιν ὀχούμενοι, οἳ καὶ μεταπηδῶσιν ἀπ' ἄλλου ἐπ' ἄλλον, ὅταν ἡ χρεία καλῇ. τοῦ δὲ κυρίως ἱππικοῦ τὸ μέν ἐστι κατάφρακτον, ὃ καὶ τοὺς ἵππους καὶ τοὺς ἱππέας πεφραγμένους παρέχεται. τὸ δὲ, ἀκατάφρακτον. τούτων δὲ, οἱ μὲν θυρεοὺς ἔχοντες, θυρεοφόροι καλοῦνται. οἱ δὲ, ἁπλῶς δορατοφόροι. αὐτῶν δὲ οἱ μὲν μόνον ἀκοντίζουσιν, εἰς δὲ χεῖρας τοῖς πολεμίοις οὐκ ἔρχονται. καὶ καλοῦνται ἱππαγωνισταὶ, καὶ ταραντῖνοι. οἱ δὲ, τόξοις, οἳ λέγονται ἱπποτοξόται. ἔτι δὲ, οἱ μὲν δορατοφόροι, ἢ κοντοφόροι, ἢ ξυστοφόροι· καλοῦνται γὰρ τοῖς τρισὶν ὀνόμασιν. οὗτοι δέ εἰσιν οἱ ἀπὸ τῶν ἵππων καὶ πλησίον πολεμίοις δόρασι μαχόμενοι. οἱ δὲ, ἀκροβολισταὶ, οἷον πόῤῥωθεν βάλλοντες. ἔτι τῆς ἱππικῆς δυνάμεως κατάφρακτοι, ἱππακοντισταὶ, ἐλαφροὶ, θυρεοφόροι, οἱ καὶ ταραντῖνοι, ἱπποτοξόται.

Πύκνωσις, κατὰ παραστάτην καὶ ἐπιστάτην. τουτέστι, πύκνησις κατὰ μῆκος καὶ βάθος. κατέχει δὲ ὁ πεπυκνωμένος ἀνὴρ πήχεις βʹ. ὁ δὲ ἁπλῶς τεταγμένος, πήχεις δʹ.

Συνασπισμὸς, ὅταν ἕκαστος ἀνὴρ τῶν ἐν τῇ φάλαγγι κατέχῃ πῆχυν ἕνα, τοῦτο καλεῖται συνασπισμός.

Πρόταξις ψιλῶν, ὅτε τῶν ἄλλων οὗτοι ἐν πολέμῳ προτάττονται. Ὑπόταξις δὲ, ὅτε ὑποτάττονται. Προσένταξις δὲ, ὅτε καὶ ἐμπλεκόμενοι τῇ φάλαγγι, παρ' ἄνδρα τάττονται. λέγεται δὲ καὶ παρένταξις τοῦτο.

Παρεμβολὴ παρεντάξεως διαφέρει. ἡ μὲν γάρ ἐστι τῶν ὁμοίων παρένθεσις, οἷον ὁπλιτῶν παρ' ὁπλίτας, ἢ ψιλῶν παρὰ ψιλούς. Παρένταξις δὲ, ἡ τῶν ἀνομοίων, οἷον ὁπλιτῶν παρὰ ψιλοὺς, ἢ ψιλῶν παρ' ὁπλίτας.

Λόχος, ἀνδρῶν ὀκτώ.

Σύστασις, τέσσαρες λόχοι, ἀνδρῶν λβʹ.

Πεντηκονταρχία, βʹ συστάσεων, ἀνδρῶν ἑξήκοντα τεσσάρων.

Ἑκατονταρχία, βʹ πεντηκονταρχίαι, ἀνδρῶν ρκή. ἑκάστη δὲ ἑκατονταρχία ἐκτάκτους ἔχει πέντε.

Ψιλαγία βʹ ἑκατονταρχίαι, ἀνδρῶν διακοσίων πεντηκονταέξ.

Ξεναγία, βʹ ψιλαγίαι, ἀνδρῶν φιβʹ.

Σύστρεμμα, βʹ ξεναγίαι, ἀνδρῶν ακδʹ.

Ἐπιξεναγία, δύο συστρέμματα, ἀνδρῶν βμηʹ.

Στίφος, δύο ἐπιξεναγίαι, ἀνδρῶν δλϛʹ.

Ἐπίταγμα, δύο στίφη, ἀνδρῶν ηρλβʹ. τούτου ἔκτακτοι ἄνδρες ή. ἐπιξεναγοὶ μὲν δύο, συστρεμματάρχαι δὲ, οἱ λοιποί.

Ἔμβολον παρατάξεως ὄνομα τοιᾶσδε. ἔστι δὲ τὸ ἥμισυ τοῦ ῥόμβου τοιοῦδε ὄντος.

Ῥομβοειδὲς, παράταξις ὀνομάζεται καὶ σφηνοειδής.

Ἴλη ἱππέων ἐστὶν ἑξηκοντατεσσάρων.

Ἐπιλαρχία, βʹ ἶλαι, ἱππέων ρκή.

Ταραντιναρχία, βʹ ἐπιλαρχίαι. ἱππέων διακοσίων πεντηκονταέξ.

Ἱππαρχία, βʹ ταραντιναρχίαι, ἱππέων πεντακοσίων δώδεκα.

Ἐφιππαρχία, βʹ ἱππαρχίαι, ἱππέων χιλίων εἴκοσι τεσσάρων.

Τέλος, δύο ἐφιππαρχίαι, ἱππέων δισχιλίων τεσσαράκοντα ὀκτώ.

Ἐπίταγμα, βʹ τέλη, ἱππέων τετρακισχιλίων λϛʹ.

Κλίσις, ἡ κατὰ ἄνδρα κίνησις.

Κλίσις ἐπὶ δόρυ, ἔστιν ἡ ἐπὶ τὰ δεξιὰ κλίσις. Ἐπανάκλισις δὲ, ἡ ἐπὶ τὰ ἀριστερὰ κλίσις.

Ἐπ' ἀσπίδα κλίσις, ἔστιν ἡ ἐπὶ τὰ ἀριστερὰ ὁμοίως.

Μεταβολή ἐστιν ἡ δὶς ἐπὶ τὸ γινομένη κλίσις, κατὰ νώτου τὰς τῶν ὁπλιτῶν ὄψεις μετατεθεῖσα, ἧς δύο διαφοραί. ἡ μὲν, ἀπὸ τῶν πολεμίων, ἣν καὶ ἐπ' οὐρὰν ὀνομάζουσιν· ἡ δὲ, ἐπὶ τοὺς πολεμίους, ἀπ' οὐρᾶς καλουμένη. ἔνιοι δὲ, οὕτω καὶ αὐτὴν ὑπογράφουσιν. Μεταβολὴ, ἔστι μετάληψις τῆς προϋπαρχούσης ἐπιφανείας εἰς τὴν κατ' οὐρὰν ἐπιφάνειαν, ἢ ἀπὸ ταύτης ἐπὶ τὴν ἐναντίαν, καὶ ἡ μὲν ἀπὸ τῶν πολεμίων μεταβολὴ, δὶς ἐπὶ δόρυ κλινάντων γίνεται. ἡ δὲ ἐπὶ τοὺς πολεμίους, δὶς ἐπ' ἀσπίδα.

Ἐπιστροφή ἐστιν, ἐπειδὰν τὸ πᾶν σύνταγμα πυκνώσαντες κατὰ παραστάτην καὶ ἐπιστάτην, καθάπερ ἑνὸς ἀνδρὸς σῶμα, ἐπὶ δόρυ ἢ ἐπ' ἀσπίδα ἐγκλίνωμεν, καθάπερ ἐπὶ κέντρῳ τῷ λοχαγῷ, παντὸς τοῦ τάγματος περιενεχθέντος, καὶ μεταλαβόντος τόπον, μετὰ τὸν ἔμπροσθεν. Ἐπιφάνειαν δὲ τὴν ἐκ δεξιῶν, διαμενόντων ἑκάστῳ τῶν παραστατῶν καὶ τῶν ἐπιστατῶν.

Ἀναστροφή ἐστιν ἡ ἀποκατάστασις τῆς ἐπιστροφῆς εἰς τὴν προτέραν χώραν. Περισπασμὸς δέ ἐστιν ἡ ἐκ δυοῖν ἐπιστροφῶν τοῦ τάγματος κίνησις, ὥστε μεταλαμβάνειν τὸν ὀπίσω τόπον. Ἐκπερισπασμὸς δέ ἐστιν, ἐκ τριῶν ἐπιστροφῶν συνεχῶν κίνησις, ὥστε μεταλαμβάνειν, ἐὰν μὲν ἐπὶ δόρυ γίνηται, τὴν ἐξ ἀριστερῶν ἐπιφάνειαν. ἐὰν δὲ ἐπ' ἀσπίδα, τὴν ἐκ δεξιῶν. εἰς ὀρθὸν δὲ ἐστιν ἀποδοῦναι, τὸ ἐπὶ τὴν ἐξ ἀρχῆς θέσιν ἀποκαταστῆσαι ἄνδρα ἕκαστον. ὥστε εἰ ἐπὶ δόρυ κλίνειν ἐκ τῶν πολεμίων κελεύοιντο, εἶτ' αὖθις εἰς ὀρθὸν ἀποδοῦναι, δεήσει ἐπὶ τοὺς πολεμίους πάλιν τρέπεσθαι. καλεῖ δὲ τοῦτο καὶ ἐπ' ὀρθὸν ἀποκαταστῆσαι.

Ἐξελιγμῶν διτταὶ εἰσὶν ἰδέαι. ἡ μὲν, κατὰ λόχους· ἡ δὲ, κατὰ ζυγά. εἴδη δὲ ἀνὰ ἑκάτερον αὐτῶν, βʹ. καλεῖται γὰρ ὁ μὲν μακεδὼν, ὁ δὲ χορεῖος, ὃν καὶ κρητικὸν καὶ περσικὸν καλοῦσι. τούτων δὲ, μακεδὼν ἐξελιγμός ἐστιν, ὁ κατὰ λόχους, ὁ μεταλαμβάνων τῆς φάλαγγος τὸν ἔμπροσθεν τόπον, ἀντὶ δὲ τῆς κατὰ πρόσωπον ἐπιφανείας τὴν ὄπισθεν. Χορεῖος δὲ ὁ τὸν αὐτὸν ἐπέχων τόπον τῆς φάλαγγος τῶν ὁπλιτῶν κατὰ μέρος, ἀνθ' ὧν προκατεῖχον τόπων ἑτέρους μεταλαμβανόντων. τοῦ μὲν λοχαγοῦ, τὸν τοῦ οὐραγοῦ· τοῦ δὲ οὐραγοῦ, τὸν τοῦ λοχαγοῦ. ἀντὶ δὲ τῆς κατὰ πρόσωπον ἔμπροσθεν ἐπιφανείας, τὴν ὄπισθεν, οἱ δὲ δὴ κατὰ ζυγὰ ἐξελιγμοὶ γίνονται, ἐπειδὰν ἐπὶ τῶν ἀποτομῶν βούληταί τις τὰ κέρατα καθιστάναι· τὰς δὲ ἀποτομὰς ἐπὶ τῶν κεράτων, χάριν τοῦ τὰ μέσα ἰσχυροποιεῖν. καὶ ὁμοίως τὰ δεξιὰ ἐν τοῖς εὐωνύμοις, καὶ τὰ εὐώνυμα, ἐν τοῖς δεξιοῖς.

Διπλασιάσαι διχῶς λέγεται. ἢ γὰρ τόπον ἐν ᾧ ἡ φάλαγξ, μένοντος τοῦ πλήθους τῶν ἀνδρῶν, ἢ ἀριθμὸν αὐτῶν. γίνεται δὲ ἑκάτερον διχῶς, ἢ κατὰ λόχον, ἢ ζυγά. ταυτὸν δ' εἰπεῖν κατὰ μῆκος καὶ κατὰ βάθος. Κατὰ μῆκος μὲν οὖν γίνεται διπλασιασμὸς ἀνδρῶν, ὅταν μεταξὺ τῶν προϋπαρχόντων λόχων παραβάλλωμεν ἢ παρεμπλέκωμεν ἄλλους αὐτοῖς ἀριθμοὺς, τὸ μῆκος φυλάττοντες τὸ αὐτὸ τῆς φάλαγγος, ὥστε πύκνωσιν γενέσθαι μόνον ἐκ τῆς τῶν ἀνδρῶν διπλασιάσεως. Κατὰ βάθος δὲ, ὅταν μεταξὺ τῶν προϋπαρχόντων ζυγῶν παρεμβάλλωμεν ἢ παρεμπλέκωμεν ἄλλα αὐτοῖς ἰσάριθμα, ὥστε κατὰ βάθος πύκνωσιν εἶναι μόνην. Κατὰ μῆκος δὲ, τόπου γίνεται διπλασιασμὸς, ὅταν τὴν προειρημένην κατὰ μῆκος πύκνωσιν μανότητι μετατάττωμεν, ἢ οἱ παρεντεθέντες ἐξελίξωσι κατὰ μῆκος. Κατὰ βάθος δὲ γίνεται τόπου διπλασιασμὸς, ὅταν τὴν προειρημένην κατὰ βάθος πύκνωσιν μετατάττωμεν μανότητι, ἢ οἱ παρεντεθέντες ἐξελίξωσι κατὰ βάθος. ἔνιοι δὲ τοὺς τοιούτους διπλασιασμοὺς ἀποδοκιμάζουσι, καὶ μάλιστα ἐγγὺς ὄντων τῶν πολεμίων. ἐφ' ἑκάτερα δὲ τῶν κεράτων τοὺς ψιλοὺς καὶ τοὺς ἱππέας ἐπεκτείνοντες τὴν ὄψιν τοῦ διπλασιασμοῦ, χωρὶς ταραχῆς τῆς φάλαγγος ἀποδιδόασι.

Πλαγία λέγεται φάλαγξ, ἥτις ἔχει τὸ μῆκος τοῦ βάθους πολλαπλάσιον. Ὀρθία δὲ λέγεται ὅταν ἐπὶ κέρατος πορεύηται, πολλαπλάσιον ἔχουσα τοῦ βάθους τὸ μῆκος. καθόλου δὲ παράμηκες μὲν λέγεται πᾶν τάγμα, ὃ ἂν τὸ μῆκος ἔχῃ πλέον τοῦ βάθους.

Λοξὴ λέγεται φάλαγξ, ἡ τὸ μὲν ἕτερον κέρας, ὁπότερον ἂν προῄρηται, πλησίον τῶν πολεμίων ἔχουσα, καὶ ἐν αὐτῷ τὸν ἀγῶνα ποιουμένη. τὸ δὲ ἕτερον, ἐν ἀποστάσει δι' ὑποστολῆς ἔχουσα. Δεξιὰ μὲν, ἡ τὸ δεξιὸν προβεβλημένη, λαιὰ δὲ, ἡ τὸ λαιόν.

Παρεμβολὴ λέγεται ἐπειδὰν προτεταγμένων τινῶν, εἰς τὰ μεταξὺ διαστήματα ἐκ τῶν ἐπιτεταγμένων καθιστῶνται αὐτοῖς ἐπ' εὐθείας.

Πρόταξις δὲ ὅταν ἐξ ἑκατέρων τῶν μερῶν τῆς τάξεως, ἢ ἑκατέρου κατὰ τὸ κέρας αὐτὸ προστεθῇ τι στῖφος τῇ πάσῃ φάλαγγι, κατευθὺ τοῦ μετώπου τῆς τάξεως.

Ἔνταξις δὲ, ἐπειδάν τις προαιρῆται τοὺς ψιλοὺς εἰς τὰ διαστήματα τῆς φάλαγγος ἐντάσσειν, ἄνδρα παρ' ἄνδρα. ἔνιοι δὲ τοῦτο καὶ παρένταξιν ὀνομάζουσιν.

Ἐπαγωγὴ δὲ λέγεται, ὅταν τάγμα τάγματι ὑποτάσσηται. οἷον, τετραρχίας ἡγουμένης, αἱ λοιπαὶ τετραρχίαι ὑποτάσσονται. ἢ ξεναγίας ἡγουμένης, αἱ λοιπαὶ ξεναγίαι ἐπακολουθοῦσι. καὶ καθόλου ὅταν σύνταγμα συντάγματι ἐν πορείᾳ ἕπηται, ὥστε τοῖς τοῦ προηγουμένου συντάγματος οὐραγοῖς τοὺς τοῦ ἑξῆς τάγματος ἡγεμόνας συνάπτειν.

Παραγωγὴ λέγεται ὅταν ἡ φάλαγξ πορεύηται τοὺς ἡγεμόνας ἐκ τῶν εὐωνύμων ἔχουσα, ἢ ἐκ τῶν δεξιῶν. κἂν μὲν ἐκ τῶν εὐωνύμων ἔχῃ τοὺς ἡγεμόνας, εὐώνυμος παραγωγὴ λέγεται. ἐὰν δὲ ἐκ τῶν δεξιῶν, δεξιὰ παραγωγή. εἴτε δὲ ἡ πορεία ἐν ἐπαγωγῇ γίνεται, εἴτε ἐν παραγωγῇ, ἐν μονοπλεύρῳ, ἢ διπλεύρῳ, ἢ τριπλεύρῳ, ἢ τετραπλεύρῳ τάγματι βαδιεῖται. μονοπλεύρῳ μὲν, ὅταν μοναχόθεν φοβηθῇ. διπλεύρῳ δὲ ὅταν διχόθεν. τριπλεύρῳ δὲ, ὅταν τριχόθεν. καὶ τετραπλεύρῳ, ὅταν οἱ πολέμιοι πανταχόθεν ἐπιτίθεσθαι ὑφορῶνται.

Ἀμφίστομος φάλαγξ καλεῖται ἡ τοὺς ἡμίσεας τῶν ἐν τοῖς λόχοις ἀνδρῶν ἀπεστραμμένους ἀπὸ σφῶν ἔχουσα, ὡς ἀντινώτους εἶναι. Διφαλαγγία δὲ ἀμφίστομος, ἥτις ἐν τῇ πορείᾳ τοὺς ἡγεμόνας ἔχει ἐξ ἑκατέρων τῶν μερῶν ἐν ἐπαγωγαῖς τεταγμένους. οὓς μὲν δεξιᾷ παραγωγῇ, οὓς δὲ ἐν εὐωνύμοις. τοὺς δὲ οὐραγοὺς, ἔσω τεταγμένους.

Ἀντίστομος διφαλαγγία, ἡ τοὺς μὲν ἡγεμόνας ἔχει μέσους τεταγμένους, τοὺς δὲ οὐραγοὺς ἔξω ἔχουσα ἐξ ἑκατέρων τῶν μερῶν ἐν παραγωγαῖς τεταγμένους.

Ἑτερόστομος φάλαγξ καλεῖται, ἥτις ἂν πορεύηται, τὸ μὲν ἡγούμενον ἥμισυ ἔχουσα ἐν εὐωνύμῳ παραγωγῇ. τουτέστι, τοὺς ἡγεμόνας ἐξ εὐωνύμου. τοῦ δὲ λοιποῦ ἡμίσεως τοὺς ἡγεμόνας, ἐν δεξιᾷ παραγωγῇ.

Ὁμοιόστομος δὲ ἐν πορείᾳ διφαλαγγία ἐστὶν, ἥτις τοὺς ἡγεμόνας ἑκατέρας τῆς φάλαγγος ἐκ τῶν αὐτῶν μερῶν ἔχει τεταγμένους, οἷον ἐκ δεξιῶν ἢ ἐξ εὐωνύμων ἑκατέρας φάλαγγος.

Ἔμβολον δὲ καλεῖται, ὅταν ἡ ἀμφίστομος διφαλαγγία τὰ μὲν ἡγούμενα κέρατα ἀλλήλοις συνάψῃ, τὰ δὲ ἑπόμενα διαστήσῃ.

Κοιλέμβολον δὲ καλεῖται, ἐπειδὰν ἀντίστομος διφαλαγγία τὰ μὲν ἑπόμενα κέρατα συνάψῃ, τὰ δὲ ἡγούμενα διαστήσῃ.

Πλαίσιον ὀνομάζεται ὁπόταν πρὸς πάσας τὰς πλευρὰς παρατάξηταί τις ἑτερομήκει σχήματι.

Πλινθία δὲ ἢ πλινθίον λέγεται, ὅταν ἐν τετραγώνῳ σχήματι ταυτὸ τοῦτο πράξῃ. ὅπερ Ξενοφῶν ὁ τοῦ Γρύλλου πλαίσιον ἰσόπλευρον καλεῖ.

Πεπλεγμένη φάλαγξ ἐστὶν, ἥτις τοῖς ὑποπίπτουσι τόποις ἀναγκαζομένη ἐξομοιοῦσθαι, τερηδόνος λόγον ἐπέχει. καὶ ξιφοειδὴς ἡ φάλαγξ ὅλη γίνεται, καὶ πολυειδὴς τῇ τάξει.

Ἐπικαμπὴς δὲ, ἐπὰν τὰ μέσα τοῖς πολεμίοις προσπίπτῃ, τὰ δὲ κέρατα ἐκ τῶν ὀπίσω μερῶν ὄρθια ὑφ' ἑαυτὴν ἔχῃ τεταγμένα.

Ἐσπαρμένη δὲ, ὅταν εἰς ὄγκους πλείονας διαλύηται τῶν ταγμάτων.

Κυρτὴ δὲ καὶ κοίλη καὶ ἐπικάμπιος λέγεται εἰς τοὐπίσω καὶ πρόσω, ἡ τὸ στόμα κοῖλον ἔχουσα ἢ κυρτὸν ἢ ἐπικαμπές. καὶ τοῦτο (ὡς εἴρηται) ἢ εἰς τοὐπίσω, ἢ εἰς τὸ πρόσω, ὥστε τὰ εἴδη αὐτῶν γίνεσθαι ἐξ ἑκάστης τῶν τριῶν εἰς τοὐπίσω σχηματιζομένης, ἢ εἰς τὸ πρόσω.

Ὑπερφαλάγγισις λέγεται ὅταν ἐκ ἑκατέρων μερῶν τῆς φάλαγγος ὑπερέχωμεν τῶν πολεμίων.

Ὑπερκέρασις δὲ, ὅταν ἐκ τοῦ ἑτέρου μέρους μόνον ὑπερέχωμεν τῶν πολεμίων.

Λεπτυσμός ἐστιν, ὅταν τὸ βάθος τῆς φάλαγγος συναιρῆται, καὶ ἀντὶ ις´ τυχὸν ἀνδρῶν ἐλάττους γένωνται.

Ὀρβικίου περὶ τῶν περὶ τὸ στράτευμα τάξεων.

Ἰστέον δὲ ὅτι τῶν περὶ τὸ στράτευμα τάξεων καὶ ἡγεμονιῶν, ὁ μὲν πέντε ἀνδρῶν ἀριθμὸς καλεῖται Πεμπὰς, ὁ δὲ ἄρχων Πεμπάδαρχος. ὁ δὲ τῶν δέκα, Δεκὰς, καὶ Δεκάδαρχος. ὁ δὲ τῶν πέντε καὶ εἴκοσι, Λόχος, καὶ Λοχαγός. ὁ τῶν πεντήκοντα, πεντηκοστὺς, καὶ πεντηκόνταρχος, ὁ τῶν ἑκατὸν, Τάξις, καὶ Ταξίαρχος. ὁ τῶν πεντήκοντα καὶ διακοσίων, Σύνταγμα, καὶ Συνταγματάρχης. ὁ τῶν πεντακοσίων, Πεντακοσιοστὺς, καὶ Πεντακοσίαρχος. ὁ τῶν χιλίων, Χιλιοστὺς, καὶ Χιλίαρχος. ὁ τῶν δισχιλίων, Μεραρχία, καὶ Τέλος, καὶ Μεράρχης, καὶ Τελάρχης. ὁ τῶν τετρακισχιλίων, Φαλαγγάρχης. ὁ τῶν μυρίων, Μυριαστὺς, καὶ Μυρίαρχος. αἱ δύω διφαλαγγαρχίαι, Τετραφαλαγγαρχία, ἀνδρῶν μυρίων ἑξακισχιλίων, καὶ ὁ ἄρχων Τετραφαλαγγάρχης. τὸ μέντοι πεζικὸν ἅπαν στράτευμα ὁμωνύμως τοῖς μερικοῖς τάγμασι λέγεται Φάλαγξ· καὶ ὁ ἡγούμενος, Στρατηγός. τοῦ δὲ ἱππικοῦ, Ἵππαρχος. τὸ δὲ συναμφότερον πεζοί τε καὶ ἱππεῖς, Στρατιά. τῆς δὲ στρατιᾶς τὸ μέτωπον λεγόμενον, (ὃ καὶ πρῶτον ζυγὸν καλοῦσι) Πρωτοστάται, καὶ ὁ ἡγούμενος Πρωτοστάτης. οἱ δὲ παρ' ἑκάτερα ταττόμενοι κέρατα, δεξιόν τε καὶ εὐώνυμον, οἱ αὐτοὶ καὶ Παραστάται, ὁ δὲ ἀρχὸς ὁμωνύμως· οἱ δὲ ὄπισθεν αὐτῶν ὡς ἐπὶ τὸ βάθος ταττόμενοι, Ἐπιστάται. τὸ δὲ ἐπὶ τούτοις πρὸς τὸ βάθος ἔσχατον ζυγὸν, οὐρὰ καὶ οὐραγός. ὁ αὐτὸς δὲ ὀπισθοφύλαξ. ἡ συνήθεια Πεντηκονταφύλακα αὐτὸν καλεῖ. ὁ δέ γε τοῦ παντὸς στρατοῦ ἡγεμονεύων, Βασιλεύς.

VERBORUM QUORUNDAM THEMATA,

Quæ magna ex parte vel sunt Anomala, vel Poëtica, aut certè ejusmodi ut non obviam cuilibet habeant originem,

Quæ jam in gratiam juniorum, multo quam antehac auctiora prodeunt et correctiora:

De hac autem illorum collectione aliquid in ejus calce dicetur.

ἌΑΔΕ, (molestus fuit: ἐλύπησεν, Hesych.) Aor. 2. verbi ἀαδέω. Præsentis autem ἀαδεῖν idem Hesych. meminit, exponens ὀχλεῖν, ἀδικεῖν, item λυπεῖσθαι, ἀπορεῖσθαι.

Ἀάθην, (deceptus fui, ἠπατήθην, Var.) Aor. 1. passivus verbi ἀάομαι.

Ἀασάμην, (damnum dedi: interdum et damnum accepi, læsus sum, ἐβλάβην, Hesych. et Eustath.) Aor. 1. medius, ab Aor. activo ἄασα, ex verbo ἀάω. Unde et Aor. 1. pass. ἀάσθην, significans itidem ἐβλάβην. Sed et ἀᾶται tertia persona præsentis temporis apud Homerum legitur, ex prima ἀάομαι.

Ἀᾶσι, flant. 3. pl. ab ἄημι, flo; ut ἵστημι, ἱστᾶσι, hinc ἄαμαι, σαι, ται, saturatur. Th. ἄω, flo, spiro.

Ἄαται, (satiatur: κορέννυται, Varino) ab ἄαμαι. id autem ab ἄημι, activo.

Ἀβάκησαν, (nescierunt: ἠγνόησαν, Hesych. et aliis) Poëticè et Ionicè pro ἠβάκησαν, ab ἀβακέω.

Ἄββαλε, Poëticè pro ἀνέβαλε, (ut κάββαλε pro κατέβαλε, et ὕββαλε pro ὑπέβαλε) ex præsenti ἀναβάλλω.

Ἀβούτεω, gen. Ion. pro ἀβούτου, ub ἀβούτης, ου, bobus carens, ex α priv. et βοῦς, bos, vacca.

Ἀγάγας pro ἀγαγὼν dici Hesych. tradit. Est autem ἀγαγὼν particip. Aor. 2. activæ vocis, ab ἄγω. Idem et ἄγαγον pro ἄγαγε usurpari scribit. quod est imperativi modi Aor. 2. ab ἄγω.

Ἀγαπῴην, optativo modo et tempore præsenti dicunt Attici pro ἀγαπάοιμι, ἀγαπῷμι, à Themate ἀγαπάω.

Ἀγασαίμην, Aor. 1. optativi modi: cujus indicativus ἠγασάμην, à Themate ἄγαμαι vel potius ἀγάζομαι, significante admiror, vel etiam, colo. Hesych. enim ἀγάζεται exp. etiam σέβεται. Poëticè et Ionicè ἀγάσαντο etiam dicitur pro ἠγάσαντο, admirati sunt: et ἀγασάμην pro ἠγασάμην. Unde et particip. ἀγασσάμενος metri causa duplicatum habens σ pro ἀγασάμενος, admiratus. at ἀγασόμενος est futuri 1. medii participium.

Ἀγασθεὶς, admiratus: part. Aor. 1. passivi, ab eodem Themate, nimirum ab ἄγαμαι vel potius ἀγάζομαι.

Ἀγγελέων, nuntiaturus: fœm. ἀγγελέουσα, nuntiatura. Ionicè pro ἀγγελῶν et ἀγγελοῦσα. Est autem ἀγγελῶν particip. à futuro indicativi ἀγγελῶ: id vero ex præsenti ἀγγέλλω. Itidem in aliis solent Iones ῶ in έω resolvere, et οῦ in έου.

Ἀγγελλόντων, Attici dicunt pro ἀγγελλέτωσαν, nuntient: participii activi genitivo plurali posito pro tertia persona plurali imperativi modi. Sic βοώντων dicunt pro βοάτωσαν, et τυπτόντων pro τυπτέτωσαν.

Ἄγειραν, 3. pl. a. 1. act. Ion. pro ἤγειραν. ab ἀγείρω, congrego. f. ρῶ. p. ἤγερκα, et Att. ἀγήγερκα. a. 1. ἤγειρα.

Ἀγέμεν, Dor. et Ion. pro ἄγειν, ducere: ab ἄγω, f. ξω, p. χα. a. 1. ἦξα.

Ἄγεν, Bœoticè pro ἄγησαν, fracti sunt: tertia persona plur. Aor. 2. pass. ab ἄγην: id autem ab ἄγνυμι seu ἄγω significante, frango.

Ἅγεο, prima syllaba producta et aspirata, Doricum est pro ἥγεο, ἡγοῦ, duc. à præsenti ἡγέομαι. At ἄγεο prima correpta et tenuata, Ionicè pro ἄγου, ducere: à præsenti ἄγομαι, ducor.

Ἀγεόμενοι quidam pro ἀγόμενοι positum aiunt: Hesych. tamen exp. θαυμάζοντες, admirantes: ab ἀγέομαι.

Ἄγερθεν, congregati sunt: Aor. 1. pass. Ionicum pro ἠγέρθησαν, ab ἠγέρθην: id autem ab ἀγείρω. Similiter ἀγέρθη dicunt iidem Iones pro ἠγέρθη, congregatus est. Unde particip. ἀγερθεὶς, et futurum indicativum ἀγερθήσομαι.

Ἀγέροντο, Ionicè pro ἠγέροντο, congregati sunt. Aor. 2. medius. ἀγείρω enim facit fut. 2. ἀγερῶ, unde Aor. 2. ἤγερον: ex quo ἠγερόμην. Quidam Poët. pro ἠγείροντο dictum volunt imperfecti esse temporis dicentes: itidemque ἀγέρω pro ἀγείρω, dici aiunt Poët. exempto ι.

Ἄγες, Hesych. ἄγε, φέρε: Poët. forsan adjecto σ.

Ἄγεσκεν, pro ἦγε dicunt Iones: ut, τύπτεσκε pro ἔτυπτε: abjecto primùm augmento, deinde annexo σκε, ab ἄγω.

Ἄγη, Ion. pro Att. ἐάγη, fractus est: tertia pers. sing. Aor. 2. passivi: à Them. ἄγνυμι pro ἄγω. Unde fut. 2. ἀγῶ: ex quo Aor. 2. ἦγον: unde pass. ἤγην, Ion. ἄγην. Attic. ἐάγην.

Ἀγηγέραται, tertia persona plur. præt. passivi Ionica pro ἠγερμένοι εἰσί: itidemque in plusquamperf. ἀγηγέρατο pro ἠγερμένοι ἦσαν· ex ἀγείρω facto præterito activo ἤγερκα, et Attica reduplicatione ἀγήγερκα: passivè ἤγερμαι, et Attica reduplicatione ἀγήγερμαι.

Ἀγήγερκα (congregavi) Atticè iteratis duabus initialibus literis præsentis pro ἤγερκα. Itemque ἀγήγερμαι pro ἤγερμαι dicitur, congregatus seu collectus sum. Quorum illud activæ vocis, hoc autem passivæ præteritum est, à Them. ἀγείρω.

Ἀγῆλαι, (exornasse, consecrasse: Hesych. κοσμῆσαι, σεμνῦναι, ἀναθεῖναι, nec non εἰς ἀγέλην ἀγαγεῖν) Aor. 1. infinitivi modi, ab Aor. 1. Indic. modi, ἤγηλα, ex Them. ἀγάλλω. Unde et conjunctivo modo, ἀγήλω, quod idem exp. κοσμήσω, exornavero: et partic. ἀγήλας, qui exornavit. At ἀγηλόμεναι, quod idem lexicographus affert pro χαίρουσαι, ab alio profectum Themate videtur.

Ἀγήοχα, duxi: præt. pers. activum ex ἦχα factum formatione Att. primùm enim reduplicatis primis duabus literis, fit ἄγηχα, ut ἀγήγερκα ex ἤγερκα, deinde ο inserto ἀγήοχα.

Ἀγήρω, acc. sing. 4. simpl. ab ἀγήρως, ω, ὁ καὶ ἡ, senii expers. ex α priv. et γῆρας, ατος, τὸ, senectus.

Ἀγκαλέει, tertia pers. sing. præs. indic. Poët. pro ἀνακαλεῖ: ab ἀνακαλέω, ut ἀγκαλέω etiam dicitur pro ἀνακαλῶ, teste Hesych.

Ἄγκαλον, idem lexicogr. affert pro ἄνοιξον, aperi. Pro quo fortassis scribendum ἄγχαλον ab ἀγχαλάω Poët. itidem usurpato pro ἀναχαλάω, relaxo et aperio.

Ἄγκειμαι, Poët. pro ἀνάκειμαι, recumbo, vel repositus sum.

Ἀγκλίνας, part. Aor. 1. activi, pro ἀνακλίνας, more Poët. à Them. ἀνακλίνω, reclino, resupino, vel etiam aperio: Hesych. ἀγκλίνας exponente non solùm ἀνακλίνας, sed etiam ἀνοίξας.

Ἀγκορυφῶσα, itidem pro ἀνακορυφῶσα apud Hesych. qui exp. ἀνατιθεῖσα.

Ἀγκρινάμεναι, quod idem pro ἀποφηνάμεναι affert, Poët. et ipsum est pro ἀνακρινάμεναι: ab ἀγκρίνω Poët. dicto pro ἀνακρίνω.

Ἀγνήκαμες, teste eodem, dicunt Æoles pro ἠγνοήκαμεν ignoravimus: à Them. ἀγνοέω.

Ἄγνυτ', pro ἄγνυτο. 3. sing. imperf. pass. ab ἄγνυμι, frango, vel ἀγνύω. Th. est ἄγω. f. ξω, frango.

Ἀγοίατο, (ducerentur) tertia pers. plur. optativi passivi, Ionicè pro ἄγοιντο, à Th. activo ἄγω.

Ἆγον, penult. circumfl. præt. imperf. Doricum est pro ἦγον, ducebam: ἄγον autem penultima correpta et penacuta, Aor. 2. duxi: pro quo Attici dicunt ἤγαγον, à Th. ἄγω.

Ἀγοράασθαι, Poët. pro ἀγοράεσθαι seu ἀγορᾶσθαι, concionari, διαλέγεσθαι: à Th. ἀγοράομαι. Hesych.

Ἀγορεύμεν, referre, præs. inf. Ion. pro ἀγορεύειν.

Ἀγόρευον, Ion. et Poët. pro ἠγόρευον, nunciabant, à Th. ἀγορεύω. Ἀγόρευσε, aor. 1. ind. pro ἠγόρευσε, Ion.

Ἀγρομένους, (quod Hesych. exp. συνελθόντας, συναθροισθέντας, qui coïerunt et in unum congregati sunt) particip. est per syncopen factum ex ἀγερομένους. est autem ἀγερόμενος particip. aor. 2. à Th. act. ἀγείρω.

Ἄγχαζε, Poët. pro ἀνάχαζε: et ἄγχασαι pro ἀνάχασαι, itidemque ἀγχάσασθαι pro ἀναχάσασθαι, à Th. ἀγχάζω Poët. pro ἀναχάζω, quod est ἀναχωρέω, recedo.

Ἄγχασδε, Dor. pro ἄγχαζε: ἄγχαζε autem pro ἀνάχαζε, ut dictum est. ambo apud Hesych.

Ἀγχιβέβακε, Dor. pro ἀγχιβέβηκε, prope accessit: ab ἀγχιβαίνω. unde et ἀγχιβάτης et ἀγχιβατέω. id autem βαίνω futurum facit βήσω.

Ἄγχου, imperativus pass. à Th. act. ἄγχω, suffoco, strangulo, ango: ut ἀγχοῦ, perispωmenωs, adverbium est, significans propè.

Ἀγωνίδαται, Ion. pro ἠγωνισμένοι εἰσί: tertia pers. pl. præt. perf. pass. Them. activi ἀγωνίζω, facta ex tertia singulari ἠγώνισται, abjecto primùm augmento, deinde correpta penultima, hoc est exempto σ et ejus loco inserta syllaba δα ut πεφράδαται dicitur pro πεφρασμένοι εἰσί. Quidam ex prima persona præteriti medii formare malunt, abjecta syllaba ται.

Ἀγωνιεῦμαι, Ionicè et Doricè pro ἀγωνιοῦμαι, pugnabo. Hoc autem ἀγωνιοῦμαι, Attic. est pro ἀγωνίσομαι, a. 1. imperat. med. ἀγώνισαι, certato, ab ἀγωνίζω, certo. f. σω. p. ἠγώνικα. Th. ἀγὼν, certamen.

Ἀδδηκότες, metri causa pro ἀδηκότες dicitur. Id autem ἀδηκότες est part. præt. temp. Ionicum pro ἡδηκότες, à Th. ἀδέω: quod ἀδέω ex ἀηδέω factum putatur, et significat, ærumnis seu laboribus et molestiis conficior seu fatisco.

Ἇδον, prima circumflexa, et ïota asscripto est vel imperfectum Doricum pro ᾖδον, canebam: vel partic. neutrius generis, à masculino ᾄδων: utrumque autem à Th. activo ᾄδω. At ἅδον, prima brevi et aspirata, est aor. 2. activæ vocis, ab ἁνδάνω vel ἁδέω, f. ήσω. et significat, placeo: ut apud Hom. ἅδε δ' Ἕκτορι μῦθος, pro ἤρεσε, teste Hesych. etiam.

Ἄειδε, canebat, imperf. pro ἤειδε, Poët. verbi ᾄδω.

Ἄειρα, (sustuli vel extuli) aor. 1. activæ vocis sine augmento, à Th. ἀείρω.

Ἀεὶς part. præs. temp. ab. ἄημι significante flo, spiro.

Ἄεισε, cecinit, aor. 1. act. ab ἀείδω, Poët. verbo, pro quo in prosa dicitur ᾄδω. Caret autem illud ἄεισε augmento, more Ion. et Poët.

Ἄεισιν, Æol. pro ἀεῖσιν, spirant: à Th. ἄημι.

Ἀέντων, gen. pl. part. præs. act. ab ἄημι, flo.

Ἀέξε, augebat, et ἀέξετο, augebatur: Poët. et Ion. sine augmento, ab ἀέξω, itidem Poët. verbo pro αὔξω, et αὐξάνω. f. ήσω. p. ηὔξηκα. ἀεξομένοιο, genit. Ion. part. præs.

Ἀεξήσω, Poët. pro αὐξήσω, augebo: à Poët. Them. ἀεξέω.

Ἀερθεὶς, particip. aor. 1. pass. significans sublatus, elatus, evectus: à Th. activo ἀείρω. itidem ἀέρθην est aor. 1. pass. indic. modi, augmento carens pro ἠέρθην, ex tertia pers. præt. pass. ἤερται: et ipsum à Th. activo ἀείρω, cujus fut. 1. ἀερῶ: aor. 1. ἤειρα, præt. perf. ἤερκα.

Ἄερον, sustuli, extuli, aor. 2. act. à Th. ἀείρω. Unde in subjunctivo ἀέρῃς, quod Hesych. exp. ἄρῃς, βαστάσῃς.

Ἀέσαι, aor. 1. infinitivi modi, ab inusitat. Th. ἀέω, significans spirare, dormire: Hesychio ἆσαι, κοιμηθῆναι. apud quem est et ἀέσσαμεν pro ἐκοιμήθημεν duplicato σ. Meminit et Eustath. Rursum verò apud Hesych. est ἀέσκοντο, ab eodem Them. derivato verbo ἀέσκομαι: quod idem exp. ἀνεπαύοντο, ἐκοιμῶντο.

Ἅζεο, (cole, reverere: ἐντρέπου, σέβου, εὐλάβου, Hesych.) Ion. pro ἅζου, à Them. ἅζομαι.

Ἄη, (spirabat: ἔπνει, ἐφύσα, Hesych.) tertia persona præt. imperf. activi, à Them. ἄημι.

Ἀῄδιζον, sine augmento dicitur pro ἠῄδιζον, propter cacophoniam illam ex concurrentia duorum η: à Them. ἀῃδίζω, Eustath.

Ἄηθ' pro ἄητο, spirabat. imperf. ab ἄω, flo. hinc ἄημι, et ἄημαι.

Ἀήθεσσον, itidem pro ἠήθεσσον dicitur, euphoniæ causa, à Them. ἀηθέσσω, insuetus sum.

Ἀήμεναι, infinitivus præs. Ion. pro ἀῆναι, spirare, flare: πνεῖν, Hesych. à Them. ἄημι. Quanquam Eustath. hoc ἀῆναι esse dicit tanquam ex ἀαίνω. tunc autem esset aor. 1.

Ἀθέριζον, parvi penderunt, imperf. Ion. ab ἀθερίζω. f. σω. Them. ἄθηρ, spica.

Ἄητον, spirant. in dual. verb. ἄημι, vel ἀάω.

Ἀΐδαο, genit. Æol. pro ᾅδου, ab ᾅδης, orcus.

Αἴδεσθεν, Ion. pro ᾐδέσθησαν, veriti sunt: ab ᾐδέσθην, aor. 1. pass. verbi αἰδέομαι. Ex quo Aoristo est et imperat. αἰδέσθητι, reverere. Nota autem hoc αἰδέομαι duplex habere futurum, alterum per η, nimirum αἰδήσομαι, alterum per ε αἰδέσομαι. unde et imper. med. αἴδεσαι, reverere, et geminato σσ, Poët. αἴδεσσαι.

Αἴδεσσαι, reverere, aor. 1. imperat. med. Vide in αἴδεσθεν.

Αἴνημ', pro αἴνημι, probo, et hoc pro αἰνέω. laudo. Them. αἶνος, laus.

Αἴνυτο. 3. sing. imperf. ab αἴνυμαι, capio.

Ἀΐξας, irruens, aor. 1. part. act. ab ἀΐσσω. f. ξω. ruo.

Ἄϊον, præt. imper. augmento carens pro ἤϊον: audiebam: a Th. ἀΐω.

Αἰθέσθαι, aor. 2. med. infin. modi, ex Aoristo indicativo ᾐσθόμην, a Them. αἰσθέομαι vel αἰσθανόμαι. Ex quo αἰσθέομαι est et fut. med. αἰσθήσομαι, sentiam.

Αἶρας per syncopen pro ἀείρας, ex Them. ἀείρω. nam ab αἴρω fit ἄρας sine diphthongo.

Αἱρεθέωσι, aor. 1. pass. subjunct. modi, Ion. pro αἱρεθῶσιν, cujus indicat. modus est ᾑρέθην, ex Them. αἱρέομαι.

Αἱρέθη, tertia pers. sing. aor. 1. pass. indic. modi, Ion.

pro ᾑρέθη, captus est: unde et fut. 1. pass. αἱρεθήσομαι. ambo ab act. Th. αἱρέω.

Αἱρεο, tolle. præs. imperat. pro αἱροῦ. ab αἴρω, tollo f. ἀρῶ. p. ἦρκα.

Αἱρήκεε, apud Herodot. Ion. pro ᾑρήκει, ceperat, ab act. Them. αἱρέω.

Αἰτιόωντο, apud Hom. et Herod. Ion. pro αἰτιῶντο, culparent à Th. αἰτιάομαι.

Ἀϊχθῆναι, moveri, aor. 1. inf. pass. ab ἀΐσσομαι. p. ἤϊγμαι. aor. 1. ἠΐχθη.

Ἀκαχίατο, (pro quo et ἀκαχείατο dicitur metri gratia) Ionicè pro ἀκάχηντο, tristati erant, vel etiam tristabantur, ex ἀχέομαι reduplicatione Attica facto præt. ἀκάχημαι. Ex quo particip. ἀκαχημένος. Quod si ἀκαχήμενος scribas, signific. λυπούμενος: estque particip. præsentis temporis, à Th. ἀκάχημαι, cujus Hesych. meminit. apud quem legitur et ἀκαχέδαται, expositum itidem λυποῦνται pro quo et ἀκηχέδαται infrà.

Ἀκαχήμενος, ex animo dolens, præs. part. ab ἀκάχημαι pro ἀκαχέω. Th. ἄχος, εος, τὸ, dolor.

Ἀκάχμενος, quidam ex ἀκάζω formant, quidam ex ἀκαχήμενος factum per syncopen aiunt, quorum probabilior est opinio. Exponit autem ἀκάχμενον ἔγχος Hesych. apud Hom. ἠκονημένον καὶ ἐστομωμένον δόρυ, acuta hasta. Possis etiam, tristis seu dolorifica hasta, interpretari, ex eo quòd ἄχος et dolorem afferat suo ictu: ut, ψυχρὸς χαλκὸς ab eodem Poëta dicitur ex eo quòd lethale frigus inferat ictis.

Ἀκειόμενος, Ionicè et Poëticè pro ἀκεόμενος.

Ἀκηδέδαται apud Hesych. λύπῃ κατέχονται, pro quo fortassis scribendum ἀκηχέδαται.

Ἀκήκοα, præt. med. Atticum pro ἤκοα, reduplicatis literis initialibus præsentis: à quo et ἀκηκόεσαν, in plusquamperf. pro ἠκόεισαν seu ἀκηκόεισαν, audiverant: à Th. ἀκούω.

Ἀκηχέατο, præt. plusquamperf. pass. Ion. pro ἀκήχηντο, ex ἀχέομαι reduplicatione Attica literarum initialium facto ἀκηχήμην, tristitia affectus fueram, vel etiam tristitia afficiebar.

Ἀκηχέδαται, Ionicè itidem pro ἀκήχηνται, interposito etiam δ, sicut in ἐληλέδαται pro ἐλήλαται interpositum itidem δ est una cum ε, ut Eustath. testatur, qui illud ἀκηχέδαται expon. λελύπηνται. Est et partic. præt. pass. ἀκηχεμένη, ex indic. ἀκήχεμαι, ut ἀκαχήμενος est ex ἀκάχημαι.

Ἀκουέμεν, Ionicus infin. est pro ἀκούειν, audire: à Th. ἀκούω.

Ἄκουκα, præt. perf. Ionicum augmento carens pro ἤκουκα, audivi: itidem à Th. ἀκούω.

Ἀκουόντεσσι, dat. pl. part. præs. Ion. ab ἀκούω, audio.

Ἀκουτιεῖς, fut. Attic. pro ἀκουτίσεις, audire facias: ex Th. ἀκουτίζω.

Ἀκοῶ, (audiam) fut. 2. ex Th. ἀκούω: unde et aor. 2. ἤκοον.

Ἀλαθεὶς, part. aor. 1. signif. vagatus, qui erravit. ex Th. ἀλάομαι. unde et præt. imperf. ἀλᾶτο apud Hom.

Ἀλάλημαι, (erravi, vagatus sum, Hesych. πεπλάνημαι) præt. perf. pass. ab ἀλάομαι, reduplicatione literarum initialium. Quidam præsentis etiam temporis esse hoc ἀλάλημαι dicunt ex ἄλημαι, reduplicatis itidem initialibus literis. Unde est infinitivus ἀλάλησθαι, præsentis temporis et ipse significationem habens: itidemque part. ἀλαλήμενος. Sic verò et ἀκάχημαι secundum quosdam præsentis, secundum alios præter. temporis est. Rursum tamen Hesych. ἀλάλητο per præt. plusquam exp. ἐπεπλάνητο.

Ἀλαλκομενῆϊς, per reduplicationem, pro ἀλκομενῆϊς, potens. ab ἀλκη, robur.

Ἄλαλκον, aor. 2. act. pro ἤλαλκον, ex ἀλαλκέω, ut ἔδουπον ex δουπέω. Unde et subjunct. modo ἀλάλκῃ, quod Hesych. exp. βοηθήσῃ, ἀπαλεξήσῃ, juverit, propulsarit. Th. ἀλκὴ, robur.

Ἀλαλύκτημαι, perturbatus sum: (Hesych. τεθορύβημαι, ἀπὸ τοῦ κατὰ διάνοιαν ἀλᾶσθαι) præt. perf. pass. Atticam reduplicationem habens, à Them. ἀλυκτέομαι. Quidam verò et præsentis esse temporis volunt ut ἀλάλημαι et ἀκάχημαι: facto nimirum primùm ἀλύκτημι ex ἀλυκτῶ, indeque passivo ἀλύκτημαι, ex hoc autem, repetitis initialibus literis, ἀλαλύκτημαι. Utriusque derivationis meminit Eustath.

Ἀλάπαξα, vastavi, aor. 1. Ion. ab ἀλαπάζω. f. ξω. p. χα.

Ἀλέασθαι, vitare, aor. 1. m. infinit. pro ἀλεύσασθαι, pro quo ἀλεύασθαι et ἀλέασθαι. ab ἀλέω, molo. f. έσω. et pro hoc dicitur etiam ἀλετύω.

